www.e-rara.ch

# Poiēseis Homērou amphō hē te Ilias kai hē Odysseia, hypo te Iakōbou tou Mikyllou kai Iōacheimou Kamerariou, spoudaiōs pros tēn nyni ekdosin paraskeuastheisai

Homerus

[Basel], [1541]

Universitätsbibliothek Basel

Persistent Link: https://doi.org/10.3931/e-rara-124317

Iliados X

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

Ἀλλὰ Διὸς μάστιγι κακῇ ἐδάμημεν Ἀχαιοί.
Ἦ θήν πού τοι θυμὸς ἐέλπεται ἐξαλαπάξειν
Νῆας, ἄφαρ δέ τε χεῖρες ἀμύνειν εἰσὶ καὶ ἡμῖν.
Ἦ κε πολὺ φθαίη εὖ ναιομένη πόλις ὑμή,
Χερσὶν ὑφ' ἡμετέρῃσιν, ἁλοῦσά τε περθομένη τε.
Σοὶ δ' αὐτῷ φημὶ σχεδὸν ἔμμεναι, ὁπότε φεύγων
Ἀρήσῃ Διῒ πατρὶ, καὶ ἄλλοις ἀθανάτοισι,
Θάσσονας ἰρήκων, ἔμμεναι καλλίτριχας ἵππους.
Οἵ σε πόλινδ' οἴσουσι κονίοντες πεδίοιο.
Ὣς ἄρα οἱ εἰπόντι ἐπέπτατο δεξιὸς ὄρνις,
Αἰετὸς ὑψιπέτης. ἐπὶ δ' ἴαχε λαὸς Ἀχαιῶν,
Θάρσυνος οἰωνῷ, ὁ δ' ἠμείβετο φαίδιμος Ἕκτωρ.
Αἶαν ἁμαρτοεπὲς βουγάϊε, ποῖον ἔειπες;
Αἲ γὰρ ἐγὼν οὕτω γε Διὸς παῖς αἰγιόχοιο
Εἴην ἤματα πάντα, τέκοι δέ με πότνια Ἥρη,
Τιοίμην δ' ὡς τίετ' Ἀθηναίη καὶ Ἀπόλλων,
Ὡς νῦν ἡμέρη ἥδε, κακὸν φέρει Ἀργείοισι
Πᾶσι μάλ'. ἐν δὲ σὺ τοῖσι πεφήσεαι, αἴ κε ταλάσσῃς
Μεῖναι ἐμὸν δόρυ μακρὸν, ὅ τοι χρόα λειριόεντα
Δάψει, ἀτὰρ Τρώων κορέσεις κύνας ἠδ' οἰωνοὺς,
Δημῷ καὶ σάρκεσσι πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν.
Ὣς ἄρα φωνήσας ἡγήσατο, τοὶ δ' ἅμ' ἕποντο
Ἠχῇ θεσπεσίῃ, ἐπὶ δ' ἴαχε λαὸς ὄπισθεν
Ἀργεῖοι δ' ἑτέρωθεν ἐπίαχον, οὐδ' ἐλάθοντο
Ἀλκῆς, ἀλλ' ἔμενον Τρώων ἐπιόντας ἀρίστους.
Ἠχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα καὶ Διὸς αὐγάς.

ἀδαήμονες.] ἀμαθεῖς. Διὸς μάστιγι.] τῇ Διὸς πληγῇ, τῷ κεραυνῷ. ἦ θήν.] ὄντως δή. ἐξαλαπάξειν.] κενώσειν, πορθήσειν. φθαίη.] φθάσει. ἰρήκων.] ἱεράκων. ἔστι δὲ εἶδος ἀετοῦ. κονίοντες.] κονιορτὸν ἐγείροντες. δεξιός.] αἴσιος, ἀγαθός. θάρσυνος.] τεθαρρηκώς. ἁμαρτοεπές.] ἁμαρτάνων τοῦ σκοποῦ τῶν λόγων. βουγάϊε.] μεγάλως ἐπὶ σ' αὐτῷ ἀγλαϊζόμενε καὶ γαυριῶν, ἢ βουβρύγιτα. πεφήσεαι.] ἀναιρεθήσῃ, φονευθήσῃ. ταλάσσῃς.] τλῇς, ὑπομείνῃς. λειριόεντα.] εὐανθῆ, τρυφερὸν, ἢ λιπαρόν. δάψει.] διακόψει, τρώσει. Διὸς αὐγάς.] τὰς Διὸς ἀπολάμψεις.

ΙΛΙΑ-

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ξ ΤΟΥ

## ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ἀγαμέμνων συλλαβὼν τοὺς τραυματίας καὶ Νέστορα σὺν αὐτοῖς, ἔξεισιν ἐπὶ τὸν πόλεμον. Ἥρα δὲ τὸν κεστὸν λαβοῦσα παρὰ τῆς Ἀφροδίτης, κατέρχεται, καὶ τὸν ὕπνον πείσασα, κοιμίζει τὸν Δία. Ποσειδῶν δὲ τοῖς Ἕλλησι βοηθεῖ. καὶ πολὺς φόνος γίγνεται τῶν Τρώων. Αἴας δὲ λίθῳ βαλὼν Ἕκτορα, πλήσσει. ὁ δὲ ἀναγαγὼν αἷμα, λειποψυχεῖ. ἀριστεύει δὲ καὶ Αἴας ὁ Λοκρός.

ΣΧΟΛΙΑ

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Ξ ΤΟΥ ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΝ.

Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης.] σφόδρα συνετὸς εἰσάγεται ὁ Νέστωρ μὴ νικώμενος ὑπὸ μέθης τὸν λογισμόν. ἔλαθε.] σημαίνει καὶ τὸ ἐκ προαιρέσεως μαθόντα παραπέμψασθαι ὡς τό, καὶ τότ' ἐγὼ Κίρκης λαθόμην. ἰαχή.] ἠχή, κραυγή. ἔμπης.] ὅμως. σημαίνει δὲ καὶ τὸ ὁμοίως. ἐζήτηται δὲ πῶς ὁ Νέστωρ ἐπὶ τοσοῦτον πίνει χρόνον ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων τοῦ λάμβδα. καὶ ῥητέον ὅτι οὐ τοσοῦτον χρόνον ἔπινεν, ἀλλ' Ὅμηρος κατὰ παρέκτασιν ἀπαγγείλας τὰς πράξεις, βουληθείς τι αὖθις τὸν Νέστορα ἐπανελθεῖν, ἀπὸ ταύτης τῆς πράξεως ἤρξατο. ἣν πρὸ αὐτοῦ κατέλιπε ποιοῦντα. ὅπως ἔσται.] ἀντὶ τοῦ ὅπως γενήσεται. τὸ ἔσται διαφέρει τοῦ γενήσεται. τὸ μὲν γὰρ ἐπὶ τοῦ ὑπάρχοντος. ὡς ἔσται γέρων ὅδε. τὸ δὲ ἐπὶ τοῦ μὴ ὄντος, γενήσεται παῖς. αἴθοπα οἶνον.] νῦν ἐρυθρόν. λούσῃ ἀπὸ βρότον.] ἀπολούσῃ τοῦ μολυσμὸν τοῦ ἀνθρωπείου αἵματος. αἱματόεντα.] ᾑματωμένον. τάχα.] ταχέως. εἴσομαι.] γνώσομαι, ἢ φανήσομαι. περιωπήν.] τόπον ὑψηλόν, ἀφ' οὗ ἔστι περιωπήσασθαι καὶ περιβλέψαι ἐπὶ πάντα. ὃ δ' ἔχ' ἀσπίδα πατρὸς ἑοῖο.] πιθανῶς. ὁ νέος ἐστὶ κεχρημένος τῇ χρυσῇ ἀσπίδι, προείρηκε γὰρ περὶ αὐτῆς ὁ ποιητής. ἀλλ' ἐφομαρτεῖτον καὶ σπεύδετον, ὄφρα κε λάβωμεν ἀσπίδα Νεστορέην. τῆς νῦν κλέος οὐρανὸν ἵκει. πᾶσαν χρυσείην ἔμεναι κανόνας τε καὶ αὐτήν. ἀκαχμένον.] ἐστομωμένον, ὠξυμμένον.

ἀεικές.] ἀπεοικός, ἀπρεπές. ὀρινομένους.] ταρασσομένους. κλονέοντας.] ταράσσοντας. ἐρέριπτο.] καταβέβλητο, κατήριπτο. ἔστι δὲ ῥῆμα ἐρείπω, ὃ σημαίνει τὸ πίπτω. ἤριπε δ' ὡς ὅτε τίς δρῦς, ἢ ἀχερωίς. σημαίνει δὲ καὶ τὸ καταβάλλω, οὗ γίγνεται παθητικὸν, ἐρείπομαι ἀντὶ τοῦ καταβάλλομαι. καὶ ἤρειμμαι παθητικὸς παρακείμενος. καὶ ἠρείμμην ὑπερσυντέλικος. ἤρειπτο καὶ Ἀττικὸς ἀναδιπλασιασμὸς ἐρήριπτο, καὶ κατὰ συστολὴν ἐρέριπτο. πορφύρῃ.] μελαίνει, ταράσσει. κύματι κωφῷ.] τῷ δίχα ἀνέμου ἐπαιρομένῳ τῷ ἀψόφῳ. καὶ μηδένα ἦχον ἀποτελοῦντι. μηδέπω γὰρ ἀνέμου διακρινοῦς ὄντος τὸ κῦμα ἠρεμεῖ. ὀσσόμενον.] ἤτοι προσδεχόμενον, ἢ προσημαῖνον. λιγέων.] σφοδρῶς πνεόντων, ὀξέων. λαιψηρά.] ταχέα. κέλευθα.] τὰς θαλασσίους ὁρμάς. αὔτως.] νῦν ἀπράκτως. προκυλίνδεται.] προσωτέρω κυλίεται. οὐδ' ἑτέρωσε.] οὐδ' ὀπίσω ἐν ἢ ἀπὸ κοινοῦ τὸ κυλίνδεται, ὅ ἐστιν οὐδ' ὄπισθεν ἀνακάμπει τὸ κῦμα. κεκειμένον.] ἀφωρισμένον, ἢ στερεὸν καὶ σφοδρόν. ἐκ Διός.] ἀντὶ τοῦ ἐκ τῶν νεφελῶν. οὖρον.] τὸν ὁρμῆς αἴτιον. ὥρμαινε.] διενοεῖτο. δαϊζόμενος κατὰ θυμόν.] διχῇ μεριζόμενος τῷ σκέμματι τὸν λογισμόν. τουτέστιν ἐπὶ πολλὰ τὸν λογισμὸν μεταφέρων καὶ διασκοπούμενος. ἴοι.] πορεύοιτο. δοάσσατο.] ἔδοξε. κέρδιον.] κρεῖσσον, ὠφελιμώτερον. λάκεν.] ἤχει, ἐψόφει. ἀτειρής.] ἄτρωτος οὐ τειρόμενος.

# ΙΛΙΑΔΟΣ Ξ ΟΜΗΡΟΥ ΡΑΨΩΔΙΑΣ.

Ξῖ, Κρονίδην ὕπνῳ λεχέεσσιν ἔτ' ἤπαφεν Ἥρη.

Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης.
Ἀλλ' Ἀσκληπιάδην ἔπεα πτερόεντα προσηύδα.
Φράζεο δῖε Μαχᾶον ὅπως ἔσται τάδε ἔργα.
Μείζων δὴ παρὰ νηυσὶ βοὴ θαλερῶν αἰζηῶν.
Ἀλλὰ σὺ μὲν νῦν πῖνε καθήμενος αἴθοπα οἶνον.
Εἰς ὅ κε θερμὰ λοετρὰ ἐϋπλόκαμος Ἑκαμήδη
Θερμήνῃ, καὶ λούσῃ ἀπὸ βρότον αἱματόεντα.
Αὐτὰρ ἐγὼν ἐλθὼν τάχα εἴσομαι ἐς περιωπήν.
Ὣς εἰπὼν, σάκος εἷλε τετυγμένον υἷος ἑοῖο.
Κείμενον ἐν κλισίῃ Θρασυμήδεος ἱπποδάμοιο,
Χαλκῷ παμφαῖνον, ὃ δ' ἔχ' ἀσπίδα πατρὸς ἑοῖο.
Εἵλετο δ' ἄλκιμον ἔγχος ἀκαχμένον ὀξέϊ χαλκῷ.
Στῆ δ' ἐκτὸς κλισίης, τάχα δ' εἴσιδεν ἔργον ἀεικές.
Τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπισθεν.
Τρῶας ὑπερθύμους, ἐρέριπτο δὲ τεῖχος Ἀχαιῶν.
Ὡς δ' ὅτε πορφύρῃ πέλαγος μέγα κύματι κωφῷ.
Ὀσσόμενον λιγέων ἀνέμων λαιψηρὰ κέλευθα
Αὔτως, οὐδ' ἄρα τε προκυλίνδεται, οὐδ' ἑτέρωσε
Πρίν τινα κεκειμένον καταβήμεναι ἐκ Διὸς οὖρον.
Ὣς ὁ γέρων ὥρμαινε, δαϊζόμενος κατὰ θυμὸν
Διχθάδι', ἢ μεθ' ὅμιλον ἴοι Δαναῶν ταχυπώλων.
Ἦε μετ' Ἀτρεΐδην Ἀγαμέμνονα ποιμένα λαῶν.
Ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι.
Βῆναι ἐπ' Ἀτρεΐδην, οἳ δ' ἀλλήλους ἐνάριζον
Μαρνάμενοι, λάκε δέ σφι περὶ χροῒ χαλκὸς ἀτειρής.
Νυσσομένων ξίφεσίν τε, καὶ ἔγχεσιν ἀμφιγύοισιν.

Νέστορ

Νέστορι δὲ ξύμβληντο διοτρεφέες βασιλῆες,
πὰρ νηῶν ἀνιόντες, ὅσοι βεβλήατο χαλκῷ.
Τυδεΐδης, Ὀδυσεύς τε, καὶ Ἀτρεΐδης Ἀγαμέμνων.
Πολλὸν γάρ ῥ' ἀπάνευθε μάχης εἰρύατο νῆες.
Θῖν' ἐφ' ἁλὸς πολιῆς, τὰς γὰρ πρώτας πεδίονδε
Εἴρυσαν, αὐτὰρ τεῖχος ἐπὶ πρύμνῃσιν ἔδειμαν.
Οὐδὲ γὰρ οὐδ' εὐρύς περ ἐὼν ἐδυνήσατο πάσας
Αἰγιαλὸς νῆας χαδέειν, στείνοντο δὲ λαοί.
Τῷ ῥα προκρόσσας ἔρυσαν καὶ πλῆσαν ἁπάσης
Ἠϊόνος στόμα μακρόν, ὅσον συνεέργαθον ἄκραι,
Τῷ ῥ' οἵ γ' ὀψείοντες ἀϋτῆς καὶ πολέμοιο.
Ἔγχει ἐρειδόμενοι κίον ἀθρόοι, ἄχνυτο δέ σφιν
Θυμὸς ἐνὶ στήθεσσιν, ὁ δὲ ξύμβλητο γεραιὸς
Νέστωρ, πτῆξε δὲ θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν.
Τὸν δὲ φωνήσας προσέφη κρείων Ἀγαμέμνων.
Ὦ Νέστορ Νηληϊάδη μέγα κῦδος Ἀχαιῶν.
Τίπτε λιπὼν πόλεμον φθισήνορα δεῦρ' ἀφικάνεις;
Δείδω, μὴ δή μοι τελέσῃ ἔπος ὄβριμος Ἕκτωρ.
Ὥς ποτ' ἐπηπείλησεν ἐνὶ Τρώεσσ' ἀγορεύων,
Μὴ πρὶν πὰρ νηῶν προτὶ Ἴλιον ἀπονέεσθαι.
Πρὶν πυρὶ νῆας ἐνιπρῆσαι, κτεῖναι δὲ καὶ αὐτούς.
Κεῖνος θ' ὣς ἀγόρευε, τὰ δὴ νῦν πάντα τελεῖται.
Ὢ πόποι, ἦ ῥα καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί.
Ἐν θυμῷ βάλλονται ἐμοὶ χόλον, ὥσπερ Ἀχιλλεύς,
Οὐδ' ἐθέλουσι μάχεσθαι ἐπὶ πρύμνῃσι νέεσσι.
Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ.
Ἦ δὴ ταῦτά γ' ἑτοῖμα τετεύχαται, οὐδέ κεν ἄλλως,
Ζεὺς ὑψιβρεμέτης αὐτὸς παρατεκτήναιτο.
Τεῖχος μὲν γὰρ δὴ κατερήριπεν ᾧ ἐπέπιθμεν
Ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι.
Οἱ δ' ἐπὶ νηυσὶ θοῇσι μάχην ἀλίαστον ἔχουσι
Νωλεμές, οὐδ' ἂν ἔτι γνοίης μάλα περ σκοπιάζων,
Ὁπποτέρωθεν Ἀχαιοὶ ὀρινόμενοι κλονέονται,
Ὡς ἐπιμὶξ κτείνονται, ἀϋτὴ δ' οὐρανὸν ἵκει,
Ἡμεῖς δὲ φραζώμεθ' ὅπως ἔσται τάδε ἔργα.
Εἴ τι νόος ῥέξει, πόλεμον δ' οὐκ ἄμμε κελεύω
Δύμεναι, οὐ γάρ πως βεβλημένον ἐστὶ μάχεσθαι,
Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
Νέστορ, ἐπειδὴ νηυσὶν ἐπὶ πρύμνῃσι μάχονται,
Τεῖχος δ' οὐκ ἔχραισμε τετυγμένον οὐδέ τι τάφρος,
Ἧι ἔπι πόλλ' ἔπαθον Δαναοί, ἔλποντο δὲ θυμῷ.
Ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι,
Οὕτω που Διὶ μέλλει ὑπερμενέϊ φίλον εἶναι.
Νωνύμνους ἀπολέσθαι, ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς
Ἤδεα μὲν γὰρ, ὅτε πρόφρων Δαναοῖσιν ἄμυνεν,
Οἶδα δὲ νῦν ὅτε τοὺς μὲν ὁμῶς μακάρεσσι θεοῖσι

Κυδαίνει,

μενος ὑπὸ Ἄρεος. ξύμβληντο.] συνέτυχον. πὰρ νηῶν.] ἀντὶ τοῦ ἀπὸ τῶν νηῶν. βεβλήατο.] βεβλημένοι ἦσαν. πολλόν.] πολύ. χαδέειν.] χωρῆσαι. στείνοντο.] ἐστενοχωροῦντο διὰ τὸ πλῆθος. προκρόσσας ἔρυσαν.] ἄλλην πρὸ ἄλλης παραλλήλως ἀνείλκυσαν κλιμακηδὸν καὶ ἀνθυπέταξαν αὐτὰς ἀλλήλαις. κρόσσαι γὰρ καλοῦνται αἱ τειχομάχοι κλίμακες. πλῆσαν. ἐπλήρωσαν. ἐγέμισαν. ἠϊόνος στόμα. τὴν ἀρχήν. τὴν εἰσβολὴν τοῦ αἰγιαλοῦ. ὅσον συνεέργαθον ἄκραι.] ὅσον ἦν διάστημα ὃ συνέκλειον καὶ συνεδέσμευν αἱ τοῦ Ἑλλησπόντου ἄκραι τὸ Ῥοίτειον καὶ Σίγειον. ὀψείοντες.] ὀπτικῶς ἔχοντες. θέλοντες ἰδεῖν. ἐρειδόμενοι. ἐπιστηριζόμενοι. σκηριπτόμενοι. πτῆξε δὲ θυμόν.] τὸ εὔρωστον καὶ εὔθυμον τῆς ἑκάστου ψυχῆς εἰς δέος ἤγαγε. γράφεται δὲ καὶ πῆξαι. ἵν' ᾖ ἀκίνητον ἐποίησεν. ἑτοῖμα.] εὔληπτα. φανερά. τετεύχαται.] κατεσκεύασται. παρατεκτήναιτο. παρατεχνάσαιτο. ἐπινοήσει. κατερήριπε.] κατηνέχθη. κατέπεσεν. ἐπέπιθμεν.] ἐπεπίθειμεν. ἐπεπιστεύκειμεν. ἄρρηκτον.] στερεόν. εἶλαρ.] ἀσφάλεια. ἀλίαστον.] ἀδιάλειπτον. οὐκ ἔχραισμεν. οὐκ ἐβοήθησεν. ἤδεα. ᾔδειν. ἠπιστάμην.

Χ κυδαίνει.]

Κυδαίνει, ἡμέτερον δὲ μένος καὶ χεῖρας ἔδησεν.
Ἀλλ' ἄγεθ' ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες.
Νῆας ὅσαι πρῶται εἰρύαται ἄγχι θαλάσσης,
Ἕλκωμεν, πάσας δὲ ἐρύσσομεν εἰς ἅλα δῖαν.
Ὕψι δ' ἐπ' εὐνάων ὁρμίσομεν, εἰσόκεν ἔλθῃ
Νὺξ ἀβρότη, ἢν καὶ τῇ ἀπόσχωνται πολέμοιο
Τρῶες, ἔπειτα δέ κεν ἐρυσαίμεθα νῆας ἁπάσας.
Οὐ γάρ τις νέμεσις φυγέειν κακὸν, οὐδ' ἀνὰ νύκτα.
Βέλτερον, ὃς φεύγων προφύγῃ κακὸν, ἠὲ ἁλώῃ.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς.
Ἀτρείδη ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων
Οὐλόμεν', αἴθ' ὤφελλες ἀεικελίου στρατοῦ ἄλλου
Σημαίνειν, μὴ δ' ἄμμιν ἀνασσέμεν οἷσιν ἄρα Ζεὺς
Ἐκ νεότητος ἔδωκε, καὶ ἐς γῆρας τολυπεύειν
Ἀργαλέους πολέμους, ὄφρα φθιόμεσθα ἕκαστος,
Οὕτω δὴ μέμονας Τρώων πόλιν εὐρυάγυιαν
Καλλείψειν, ἧς εἵνεκ' ὀϊζύομεν κακὰ πολλά.
Σίγα, μή τις ἄλλος Ἀχαιῶν τοῦτον ἀκούσῃ
Μῦθον, ὃν οὔκεν ἀνήρ γε διὰ στόμα πάμπαν ἄγοιτο.
Ὅς τις ἐπίσταιτο ᾗσι φρεσὶν ἄρτια βάζειν.
Σκηπτοῦχός τ' εἴη, καί οἱ πειθοίατο λαοὶ,
Τόσσοι ὅσοισιν σὺ μετ' Ἀργείοισιν ἀνάσσεις,
Νῦν δέ σευ ὠνοσάμην πάγχυ φρένας, οἷον ἔειπες,
Ὃς κέλεαι πολέμοιο συνεσταότος καὶ ἀϋτῆς,
Νῆας ἐϋσσέλμους ἅλα δ' ἑλκέμεν, ὄφρ' ἔτι μᾶλλον
Τρωσὶ μὲν εὐκτὰ γένηται ἐπικρατέουσί περ ἔμπης.
Ἡμῖν δ' αἰπὺς ὄλεθρος ἐπιρρέπῃ, οὐ γὰρ Ἀχαιοὶ
Σχήσουσιν πόλεμον, νηῶν ἅλαδ' ἑλκομενάων.
Ἀλλ' ἀποπαπτανέουσιν, ἐρωήσουσι δὲ χάρμης.
Ἔνθά κε, σὴ βουλὴ δηλήσεται ὄρχαμε λαῶν.
Τὸν δ' ἠμείβετ' ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
Ὦ Ὀδυσεῦ, μάλα πώς με καθίκεο θυμὸν ἐνιπῇ
Ἀργαλέῃ, ἀτὰρ οὐ μὲν ἐγὼν ἀέκοντας ἄνωγα
Νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν υἷας Ἀχαιῶν.
Νῦν δ' εἴη ὅς τις δὲ γ' ἀμείνονα μῆτιν ἐνίσποι,
Ἢ νέος, ἠὲ παλαιὸς, ἐμοὶ δέ κεν ἀσμένῳ εἴη.
Τοῖσι δὲ καὶ μετέειπε, βοὴν ἀγαθὸς Διομήδης.
Ἐγγὺς ἀνὴρ, οὐ δηθὰ ματεύσομεν, αἴ κ' ἐθέλητε
Πείθεσθαι, καὶ μή τι κότῳ ἀγάσησθε ἕκαστος,

Οὕνεκα

κυδαίνει.] δοξάζει. πρῶται.] ἐν τῇ ἀρχῇ, ἐν τῇ ἄκρᾳ. εἰρύαται.] ἑλκυσμέναι εἰσίν. ὕψι.] ἐφ' ὕψους. τὸ ὑγρὸν γὰρ ὑψηλότερον τῆς γῆς. διὸ ἀνάπλους μὲν ἀναγωγή. κατάπλους δὲ ἡ προσόρμησις. νὺξ ἀβρότη.] ἀμβροσία, θεία, οἱονεὶ ἀβρότη. ἔστι γὰρ ἱερὰ τῶν θεῶν ἡ νύξ, ἐν ᾗ βροτὸς οὐκ ἀναστρέφεται. ἢ βρότος, βαρυτόνως, τουτέστι μολυσμὸς καὶ φόνος οὐ γίγνεται. ἢν καὶ τῇ.] ἐὰν ὅλως καὶ διὰ αὐτήν. ζήτηται δὲ πῶς ὁ Ἀγαμέμνων οὕτως ἀστρατήγως φυγεῖν προστάσσει τοῖς Ἕλλησι λέγων. νῆας ὅσαι πρῶται. ῥητέον οὖν ὅτι ὁ Ἀγαμέμνων γιγνώσκων αὐτοὺς μὴ φευξομένους διὰ τὴν οἰκείαν ἀρετὴν, καὶ ὅτι οὐ δὲ λαθεῖν ἠδύναντο τοὺς πολεμίους, ἐπιτρέπει αὐτοῖς φεύγειν, ἵνα μὴ δόξῃ παρὰ δύναμιν κατέχων αὐτοὺς ἕνεκα τοῦ καθ' ἑαυτὸν χρησίμου αἴτιος γενέσθαι τοῦ πάντας ἀπολέσθαι. τοὐναντίον δὲ εὔνοιαν ἑαυτῷ πορίσηται διὰ τὸ πᾶν ὁτιοῦν αἱρεῖσθαι ποιεῖν καὶ ὑπομένειν καὶ τὴν ἐκ τῆς φυγῆς ἀδοξίαν ἕνεκεν τῆς ἐκείνων σωτηρίας. ἕρκος ὀδόντων.] περιφραστικῶς οἱ ὀδόντες, ἢ τροπικῶς αὐτὰ τὰ χείλη. οὐλόμενε.] ὀλεθριώτατε, ἢ ὀλέθρου τοῖς Ἕλλησι παρασκευαστικέ.

ἀεικελίου.] εὐκαταφρονήτου, ὅ ἐστιν εὐτελοῦς, κακοῦ. σημαίνειν.] νῦν ἄρχειν. τολυπεύειν.] κατεργάζεσθαι μεταφορικῶς. ἰδίως γὰρ τολύπη καλεῖται τὸ κατειργασμένον ἔριον. φθιόμεσθα.] φθαρῶμεν, ἀπολώμεθα. καλλείψειν.] καταλείψειν. ὀϊζύομεν.] κακοπαθοῦμεν. ὃν οὔ κεν ἀνήρ γε διὰ στόμα πάμπαν ἄγοιτο.] ὃν οὐκ ἂν εἴποι συνετὸς καὶ σώφρων ἀνήρ. ἀνὰ στόμα γὰρ ἀντὶ τοῦ διὰ στόματος.

ἄρτια βάζειν.] ὑγιῆ καὶ ἁρμόδια λέγειν. ὠνοσάμην.] ἐμεμψάμην.

συνεσταότος.] συνεστῶτος. εὐκτά.] εὐχῆς ἄξια. ἐπιρρέπῃ.] ἐπικρατημένος. καταρρεπὴς ᾖ. ἡ μεταφορὰ ἀπὸ ζυγοστατουμένων σωμάτων. σχήσουσιν.] ὑπομενοῦσιν, ἀνθέξουσιν.

ἀποπαπτανέουσιν.] ἤτοι εἰς τὰς ναῦς ἀποβλέψουσιν, ἢ ἀλλαχόσε ὅπῃ φεύξονται. ἐρωήσουσιν.] ὑποχωρήσουσιν, ἀμβλύσουσι. δηλήσεται.] βλάψει. καθίκεο.] καθήψω, ἐλύπησας. ἐνιπῇ.] ἐπιτιμήσει, ἐπιπλήξει. εἴη.] ἔστω, φαινέσθω. μῆτιν.] γνώμην. ἐνίσποι.] εἴποι, φράσοι. παλαιός.] πρεσβύτερος, γέρων. ἀσμένῳ.] ἑκόντι, χαίροντι. ἐγγὺς ἀνήρ.] ἀντὶ τοῦ ὁ συμβουλεύσων. ζήτηται δὲ διατί νῦν Διομήδης συμβουλεύει καὶ οὐ Νέστωρ. ῥητέον δὲ ὅτι τὸ μὲν γῆρας, ἐν τοῖς δεινοῖς, ἐστὶν ἐπισχετικόν. ἡ δὲ νεότης θαρσαλεωτέρα. ἄλλως τε καὶ Διομήδης ἐν τῇ προτέρᾳ συμβουλῇ θαυμασθεὶς, νῦν μᾶλλον τεθάρρηκε. καὶ προήρπακε τῷ πρεσβυτέρῳ τοὺς λόγους.

ματεύσομεν.] ἤτοι ματαιοπραγήσομεν, ἢ ἀντὶ τοῦ ζητήσομεν. κότῳ ἀγάσησθε.] μετ' ὀργῆς μέμψησθε.

γενεῆφιν.]

γενεῆφιν.] ἡλικίᾳ. ὃν Θήβῃσι χυτὴ κατὰ γαῖα κάλυψεν.] ἀντὶ τοῦ ὃς ἐν Θήβαις ἐτελεύτησεν ἐν τῷ θηβαϊκῷ πολέμῳ. χυτὴ γὰρ ἡ τοῖς τεθνεῶσιν ἐπιχεομένη γῆ. ἀρετῇ.] εὐδαιμονίᾳ. ἀνδρείᾳ. αὐτόθι μεῖνε.] ἐν τῷ τόπῳ ἔμεινε. πατὴρ δ' ἐμὸς Ἄργει νάσθη πλαγχθείς. ὣς γάρ που Ζεὺς ἤθελε καὶ θεοὶ ἄλλοι.] εὐσχημόνως ὁ Διομήδης παρεσιώπησε τὴν τοῦ πατρὸς φυγήν. Τυδεὺς γὰρ ἀνελὼν Λυκωπέα καὶ Ἀλκάθουν ἑαυτοῦ πατραδέλφους, ἔφυγεν. ἡ δὲ ἀληθεστέρα ἱστορία ἐστὶν αὕτη. Τυδεὺς ὁ Οἰνέως Αἰτωλὸς μὲν ἦν τὸ γένος, ἀνδρειότατος δὲ τῶν κατ' αὐτὸν γενόμενος. ἔτι νέος

Οὕνεκα δὴ γενεῆφι νεώτατός εἰμι μεθ' ὑμῖν
Πατρὸς δ' ἐξ ἀγαθοῦ καὶ ἐγὼ γένος εὔχομαι εἶναι
Τυδέος, ὃν Θήβῃσι χυτὴ κατὰ γαῖα κάλυψε.
Πορθεῖ γὰρ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο.
Ὤικεον δ' ἐν Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι,
Ἄγριος ἠδὲ Μέλας, τρίτατος δ' ἦν ἱππότα Οἰνεύς
Πατρὸς ἐμοῖο πατήρ, ἀρετῇ δ' ἦν ἔξοχος αὐτῶν.
Ἀλλ' ὁ μὲν αὐτόθι μεῖνε, πατὴρ δ' ἐμὸς Ἀργεϊ νάσθη
Πλαγχθείς, ὣς γάρ που Ζεὺς ἤθελε καὶ θεοὶ ἄλλοι.
Ἀδρήστοιο δ' ἔγημε θυγατρῶν, ναῖε δὲ δῶμα
Ἀφνειὸν βιότοιο· ἅλις δέ οἱ ἦσαν ἄρουραι
Πυροφόροι, πολλοὶ δὲ φυτῶν ἔσαν ὄρχατοι ἀμφίς.
Πολλὰ δέ οἱ πρόβατ' ἔσκε, κέκαστο δὲ πάντας Ἀχαιοὺς
Ἐγχείῃ, τὰ δὲ μέλλετ' ἀκουέμεν ὡς ἐτεόν περ.
Τῷ οὐκ ἄν με γένος κακὸν καὶ ἀνάλκιδα φάντες
Μῦθον ἀτιμήσητε πεφασμένον, ὅν κεν εὖ εἴπω.
Δεῦτ' ἴομεν πόλεμόνδε, καὶ οὐτάμενοί περ ἀνάγκῃ.
Ἔνθα δ' ἔπειτ' αὐτοὶ μὲν ἐχώμεθα δηιοτῆτος.
Ἐκ βελέων, μή πού τις ἐφ' ἕλκει ἕλκος ἄρηται.
Ἄλλους δ' ὀτρύνοντες ἐνήσομεν, οἳ τὸ πάρος περ
Θυμῷ ἦρα φέροντες ἀφεστᾶσ', οὐδὲ μάχονται.
Ὣς ἔφαθ', οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο
Βὰν δ' ἴμεν, ἦρχε δ' ἄρα σφιν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
Οὐδ' ἀλασκοπιὴν εἶχεν κλυτὸς Ἐννοσίγαιος.
Ἀλλὰ μετ' αὐτοὺς ἦλθε παλαιῷ φωτὶ ἐοικώς.
Δεξιτερὴν δ' ἕλε χεῖρ' Ἀγαμέμνονος Ἀτρεΐδαο.
Καί μιν φωνήσας, ἔπεα πτερόεντα προσηύδα,
Ἀτρεΐδη, νῦν δή που Ἀχιλλῆος ὀλοὸν κῆρ
Γηθεῖ ἐνὶ στήθεσσι φόνον καὶ φύζαν Ἀχαιῶν
Δερκομένου, ἐπεὶ οὔ οἱ ἔνι φρένες οὐδ' ἠβαιαί.
Ἀλλ' ὁ μὲν ὣς ἀπόλοιτο, θεὸς δὲ ἑ σιφλώσει.
Σοὶ δ' οὔπω μάλα πάγχυ θεοὶ μάκαρες κοτέουσιν
Ἀλλ' ἔτι που Τρώων ἡγήτορες ἠδὲ μέδοντες,
Εὐρὺ κονίσουσιν πεδίον, σὺ δ' ἐπόψεαι αὐτοὺς
Φεύγοντας προτὶ ἄστυ, νεῶν ἄπο καὶ κλισιάων.
Ὣς εἰπών, μέγ' ἄϋσεν ἐπεσσύμενος πεδίοιο,
Ὅσσον τ' ἐννεάχιλοι ἐπίαχον, ἢ δεκάχιλοι

ὢν ἐθεάσατο τὸν πατέρα διὰ γῆρας ὑπὸ τῶν Ἀγρίου παίδων τῆς βασιλείας ἐκβαλλόμενον. διόπερ ἀναιρεῖ τούς τε ἀνεψιοὺς καὶ σὺν αὐτοῖς ἀκουσίως ἀδελφόν. φεύγων δ' εἰς Ἄργος πρὸς Ἄδραστον βασιλέα τῆς χώρας, καθαρσίων τε τυγχάνει πρὸς αὐτοῦ, καὶ γαμεῖ τὴν αὐτοῦ θυγατέρα Δηϊπύλην. ἡ ἱστορία παρὰ Φερεκύδῃ. νάσθη.] ἀπῳκίσθη. πλαγχθείς.] ἀποπλανηθεὶς καὶ ἐκπεσὼν τῆς πατρίδος διὰ τὴν φυγήν. Ἀδρήστοιο θυγατρῶν.] προσληπτέον τὸ μίαν, τὴν Δηϊπύλην. διατί νῦν ὁ Διομήδης ἑαυτὸν γενεαλογεῖ. ῥητέον ὅτι πάνυ ῥητορικῶς. δεῖ γὰρ ἐν ταῖς συμβουλαῖς προαποδεικνύειν ὡς εἰσὶν οὐχ οἱ τυχόντες ἀλλὰ τῶν πάνυ ἐνδόξων. ἵν' οὕτως τῷ ἀξιώματι πείσωνται. ἅλις.] δαψιλῶς ἱκανῶς. πυροφόροι.] σιτοφόροι. ὄρχατοι.] αἱ ἐπίστιχοι φυτεῖαι. κῆποι. πρόβατα.] πάντα τὰ τετράποδα ἐκάλουν οἱ παλαιοὶ πρόβατα, διὰ τὸ πρὸ τῶν ὀπισθίων βάσεων ἑτέρας ἐμπροσθίους ἔχειν· καθ' ὃ καὶ Ἡσίοδός φησι· χαλεπὸς προβάτοις, χαλεπὸς δ' ἀνθρώποις. ἔσκεν.] ἦν, ὑπῆρχεν. ἐκέκαστο.] ἐκεκόσμητο. ἐνίκα. τὰ δὲ μέλλετ' ἀκουέμεν.] ταῦτα εἰκὸς ὑμᾶς ἀκηκοέναι. ὡς ἐτεόν περ.] ὡς ἀληθές. γένος κακόν.] δυσγενῆ. φάντες.] λογισάμενοι εἰπόντες. πεφασμένον.] νῦν φανερῶς εἰρημένον. οὐτάμενοι.] τετρωμένοι. ἀνάγκῃ] διὰ τὴν ἀνάγκην. ἐχώμεθα.] ἀπεχώμεθα. ἐκ βελέων.] ἔξω τῶν βελῶν. μή πού τις ἐφ' ἕλκει ἕλκος ἄρηται.] μή τις τραυματίας ὑπάρχων, τραῦμα ἕτερον λάβῃ. ἐνήσομεν.] παρορμήσομεν. ἐμβαλοῦμεν τοῖς πολεμίοις. θυμῷ ἦρα φέροντες.] χαριζόμενοι τῇ ψυχῇ τὴν ἀργίαν. ἀλασκοπιήν.] μάταιον καὶ τυφλὸν τὸν σκοπόν. ἀλαὸς γὰρ ὁ τυφλός. ἐννοσίγαιος.] κινησίγαιος. ἔνοσις γὰρ ἡ κίνησις. μετ' αὐτοὺς ἦλθε.] ἀντὶ τοῦ πρὸς αὐτοὺς ἦλθεν. ὀλοόν.] ὀλέθριον. φύζαν.] τὴν μετὰ δέους φυγήν. δερκομένου.] ὁρῶντος. ἔνι.] ἔνεισιν. ὑπάρχουσιν. οὐδ' ἠβαιαί.] οὐδὲ ὀλίγαι. σιφλώσει.] τυφλώσειεν. ἐπίψογον ποιήσει. σίφλος γὰρ καλεῖται ὁ ψόγος. κονίσουσι.] κόνεως πληρώσουσιν. ἐκ δὲ τοῦ παρακολουθοῦντος νοεῖται τὸ φεύξονται. οἱ γὰρ φεύγοντες κατὰ τὸν δρόμον ἐγείρουσι κόνιν. ὄψεαι.] θεάσῃ. ἐννεάχιλοι.] ἐννακισχίλιοι. πῶς δέ φησιν ὁ Ποσειδῶν,

Ἀνέρες

Ἀνέρες ἐν πολέμῳ ἔριδα ξυνάγοντες Ἄρηος,
Τόσσην ἐκ στήθεσφιν ὄπα, κρείων Ἐνοσίχθων
Ἧκεν, Ἀχαιοῖσιν δὲ μέγα σθένος ἔμβαλ' ἑκάστῳ
Καρδίῃ, ἄλληκτον πολεμίζειν ἠδὲ μάχεσθαι.
Ἥρη δ' εἰσεῖδε χρυσόθρονος ὀφθαλμοῖσι,
Στᾶσ' ἐξ Οὐλύμποιο ἀπὸ ῥίου· αὐτίκα δ' ἔγνω,
Τὸν μὲν ποιπνύοντα μάχην ἀνὰ κυδιάνειραν
Αὐτοκασίγνητον καὶ δαέρα, χαῖρε δὲ θυμῷ.
Ζῆνα δ' ἐπ' ἀκροτάτης κορυφῆς πολυπίδακος Ἴδης
Ἥμενον εἰσεῖδε, στυγερὸς δέ οἱ ἔπλετο θυμῷ.
Μερμήριξε δ' ἔπειτα βοῶπις πότνια Ἥρη,
Ὅππως ἐξαπάφοιτο Διὸς νόον αἰγιόχοιο.
Ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή
Ἐλθεῖν εἰς Ἴδην εὖ ἐντύνασαν ἑαυτήν
Εἴπως ἱμείραιτο παραδραθέειν φιλότητι
Ἧι χροιῇ, τῷ δ' ὕπνον ἀπήμονά τε, λιαρόν τε
Χεύῃ ἐπὶ βλεφάροισιν, ἰδὲ φρεσὶ πευκαλίμῃσι.
Βῆ δ' ἴμεν εἰς θάλαμον, τόν οἱ φίλος υἱὸς ἔτευξεν
Ἥφαιστος, πυκινὰς δὲ θύρας σταθμοῖσιν ἐπῆρσε
Κληῗδι κρυπτῇ, τὴν δ' οὐ θεὸς ἄλλος ἀνῷγεν.
Ἔνθ' ἥγ' εἰσελθοῦσα θύρας ἐπέθηκε φαεινάς.
Ἀμβροσίῃ μὲν πρῶτον ἀπὸ χροὸς ἱμερόεντος,
Λύματα πάντα κάθηρεν, ἀλείψατο δὲ λίπ' ἐλαίῳ
Ἀμβροσίῳ ἑδανῷ, τό ῥά οἱ τεθυωμένον ἦεν,
Τοῦ καὶ κινυμένοιο Διὸς ποτὶ χαλκοβατὲς δῶ
Ἔμπης ἐς γαῖάν τε καὶ οὐρανὸν ἵκετ' ἀϋτμή.
Τῷ ῥ' ἥγε χρόα καλὸν ἀλειψαμένη ἰδὲ χαίτας
Πεξαμένη χερσὶ πλοκάμους ἔπλεξε φαεινούς.
Καλοὺς ἀμβροσίους ἐκ κράατος ἀθανάτοιο.
Ἀμφὶ δ' ἄρ' ἀμβρόσιον ἑανὸν ἕσαθ' ὅν οἱ Ἀθήνη
Ἔξυσ' ἀσκήσασα, τίθει δ' ἐνὶ δαίδαλα πολλά.
Χρυσείης δ' ἐνετῇσι κατὰ στῆθος περονᾶτο,
Ζώσατο δὲ ζώνην ἑκατὸν θυσάνοις ἀραρυῖαν,
Ἐν δ' ἄρα ἕρματα ἧκεν ἐϋτρήτοισι λοβοῖσι,
Τρίγληνα μορόεντα, χάρις δ' ἀπελάμπετο πολλή.
Κρηδέμνῳ δ' ἐφύπερθε καλύψατο δῖα θεάων,
Καλῷ νηγατέῳ, λευκὸν δ' ἦν ἠέλιος ὥς,
Ποσσὶ δ' ὑπαὶ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα,
Αὐτὰρ ἐπειδὴ πάντα περὶ χροῒ θήκατο κόσμον

Βῆ ῥ'

ὁμοιωθεὶς πρεσβύτῃ ὑπὲρ τὴν ἡλικίαν φθέγγεται. καὶ ῥητέον ὅτι τῇ μὲν ὄψει πρεσβύτης ἐφαίνετο, τῇ φωνῇ δὲ τὴν τοῦ θεοῦ δύναμιν ἐνεδείκνυτο. ἐπίαχον.] ἐπεβόησαν. ἐκ στήθεσφιν.] ἐκ τῶν στηθῶν. ἄλληκτον.] ἄπαυστον. στᾶσ'.] τὸ πλῆρες στᾶσα. ἀπὸ ῥίου.] ἀπὸ τοῦ ἀκρωτηρίου τοῦ ὄρους. ποιπνύοντα.] ἐνεργοῦντα. γίνεται δὲ ἐκ τοῦ πονῶ καὶ ποιπνύω, ἀναδιπλασιασμῷ. δαέρα.] ἀνδρὸς ἀδελφόν. στυγερός.] κατάπληκτος. μισητός. ἢ στυγνοποιός, τὸ γὰρ κεχαρισμένον αὐτῇ οὐκ ἐποίει. ἐξαπάφοιτο.] ἐξαπατήσειεν. ἐντύνασαν.] παρασκευασαμένην. κοσμησαμένην. ἱμείραιτο.] ἐπιθυμήσειεν ἐρασθῇ. παραδραθέειν.] παρακατακλιθῆναι. ᾗ χροιῇ.] τῷ ἰδίῳ αὐτῆς χρωτί. λιαρόν.] θερμόν. ἡδύ. τοῖς γὰρ καθεύδουσι παρακολουθεῖ θερμαίνεσθαι τὰ ἄκρα. πευκαλίμῃσι.] συνεταῖς. πυκναῖς. πυκινάς.] ἀσφαλεῖς. πυκνάς. σταθμοῖσι.] παραστάσι νῦν. ἐπῆρσεν.] ἐφώρμησε. κληῗδι κρυπτῇ.] οὕτω καλοῦνται κλεῖδες κρυπταί. ἀνῷγεν.] ἀνέῳγεν. ἡ ἀνάγνωσις προπερισπωμένως. ἐπέθηκεν.] ἐνέβαλεν. ἔκλεισεν. ἀμβροσίῃ.] θείῳ ἀλείμματι μύρῳ. οἱ δὲ θείῳ λουτρῷ. ἱμερόεντος.] ἐπεράστου. καλοῦ. λύματα.] καθάρσιον. ῥύπον. κάθηρεν.] ἐκάθαιρεν. ἑδανῷ.] ἡδεῖ. ὅ ἐστιν εὐώδει. εὐόσμῳ. τεθυωμένον.] τεθυμιαμένον. κινυμένοιο.] σαλευομένου. κινουμένου. χαλκοβατές.] χαλκῷ βεβηκός. στερεόν. ἢ χαλκοῦν ἔχον οὐδόν. ἔμπης.] νῦν ὁμοίως. ἵκετο.] ἀφικνεῖτο. ἐφέρετο. ἀϋτμή.] πνοή. ἰδὲ χαίτας.] καὶ τὰς χαίτας. ἤγουν τὰς κόμας. πεξαμένη.] κτενισαμένη. ἐκ κράατος.] ἐκ τῆς κεφαλῆς. ἑανόν.] νῦν πέπλον. παρὰ τὸ ἕννυσθαι. ὅτ' ἂν δὲ εἴπῃ ἑανοῦ κασσιτέροιο, τοῦ εὐδιαχύτου λέγει καὶ ἁπαλοῦ. ἕσατο.] περιεβάλετο. ἐνεπορποῦντο γὰρ τοῖς περιβολαίοις. ἔξυσεν.] ἀντὶ τοῦ κατεσκεύασε. νῦν καὶ λεπτὸν εἰργάσατο. ἀσκήσασα.] μετ' ἐπιμελείας κατασκευάσασα. ἐνετῇσι.] περόναις. ἀπὸ τοῦ ἐνίεσθαι τοῖς ἱματίοις. ὅ ἐστιν ἐμπορποῦσθαι. θυσάνοις.] κροσσοῖς. παρὰ τὸ θυσεύεσθαι, ὅ ἐστι κινεῖσθαι. ἕρματα.] νῦν ἐνώτια. ἐϋτρήτοισι.] καλῶς τετρημένοις τετρυπημένοις. λοβοῖσι.] τοῖς ἄκροις τῶν ὠτίων τοῖς ἁπαλοῖς. παρὰ τὸ λαμβάνειν καὶ δέχεσθαι. τρίγληνα.] πολλῆς θέας ἄξια. τρίκοκα. ἢ τριπρόσωπα. γλήνη γὰρ ἡ τοῦ ὀφθαλμοῦ κόρη. ἢ τρίκορα, ἔχοντα τρεῖς κόρας διὰ χάριτος. ἢ πολλῶν κοσμίων ἄξια. γλήνεα γὰρ τὰ κόσμια. ὡς καὶ ἀλλαχοῦ φησιν· ὁ γλήνεα πολλὰ κεχάνδει. μορόεντα.] μετὰ μόρου καὶ κακοπαθείας εἰργασμένα περὶ ἃ ἐμόρησεν ὁ τεχνίτης, τουτέστιν ἔκαμε κατασκευάζων αὐτά. χάρις.] ἀρετή. καλλονή. κρηδέμνῳ.] κεφαλοδέσμῳ. νῦν δὲ καλύπτρᾳ. νηγατέῳ.] νεωστὶ γεγονότι. λεπτῷ. λιπαροῖσιν.] εὐτραφέσι.

Βῆ ῥ' ἴμεν ἐκ θαλάμοιο, καλεσσαμένη δ' Ἀφροδίτην
Τῶν ἄλλων ἀπάνευθε θεῶν, πρὸς μῦθον ἔειπεν.
Ἦ ῥά νύ μοί τι πίθοιο φίλον τέκος ὅττι κεν εἴπω;
Ἦέ κεν ἀρνήσαιο κοτεσσαμένη τόγε θυμῷ.
Οὕνεκ' ἐγὼ Δαναοῖσι, σὺ δὲ Τρώεσσιν ἀρήγεις,
Τὴν δ' ἠμείβετ' ἔπειτα Διὸς θυγάτηρ Ἀφροδίτη·
Ἥρη πρέσβα θεὰ θύγατερ μεγάλοιο Κρόνοιο.
Αὔδα, ὅ, τι φρονέεις τελέσαι δέ με θυμὸς ἄνωγεν,
Εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστί.
Τὴν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη.
Δὸς νῦν μοι φιλότητα καὶ ἵμερον, ᾧ τε σὺ πάντας
Δαμνᾷ ἀθανάτους, ἠδὲ θνητοὺς ἀνθρώπους,
Εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης,
Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθὺν,
Οἵ μ' ἐν σφοῖσι δόμοισιν ἐΰτρεφον ἠδ' ἀτίταλλον,
Δεξάμενοι Ῥείης ὅτε, τε Κρόνον εὐρύοπα Ζεὺς
Γαίης νέρθε καθεῖσε καὶ ἀτρυγέτοιο θαλάσσης.
Τοὺς εἶμ' ὀψομένη καί σφ' ἄκριτα νείκεα λύσω
Ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται
Εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεσε θυμῷ,
Εἰ κείνω γ' ἐπέεσσι παραιπεπιθοῦσα φίλον κῆρ.
Εἰς εὐνὴν ἀνέσαιμι ὁμωθῆναι φιλότητι,
Αἰεί κέ σφι φίλη τε καὶ αἰδοίη καλεοίμην.
Τὴν δ' αὖτε προσέειπε φιλομειδὴς Ἀφροδίτη,
Οὐκ ἔστ' οὐδὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι,
Ζηνὸς γὰρ τοῦ ἀρίστου ἐν ἀγκοίνῃσιν ἰαύεις,
Ἦ. καὶ ἀπὸ στήθεσφιν ἐλύσατο κεστὸν ἱμάντα,
Ποικίλον, ἔνθα δέ οἱ θελκτήρια πάντα τέτυκτο,
Ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ὀαριστὺς
Πάρφασις, ἥτ' ἔκλεψε νόον πύκα περ φρονεόντων,
Τόν ῥά οἱ ἔμβαλε χερσὶν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
Τῆ νῦν τοῦτον ἱμάντα, τεῷ δ' ἐγκάτθεο κόλπῳ
Ποικίλον, ᾧ ἔνι πάντα τετεύχαται. οὐδέ σε φημὶ
Ἄπρηκτόν γε νέεσθαι ὅτι φρεσὶ σῇσι μενοινᾷς.
Ὣς φάτο, μείδησεν δὲ βοῶπις πότνια Ἥρη,
Μειδήσασα δ' ἔπειτα ἑῷ ἐγκάτθετο κόλπῳ.
Ἡ μὲν ἔβη πρὸς δῶμα Διὸς θυγάτηρ Ἀφροδίτη,
Ἥρη δ' ἀΐξασα λίπεν ῥίον οὐλύμποιο,
Πιερίην δ' ἐπιβᾶσα καὶ Ἠμαθίην ἐρατεινὴν,
Σεύατ' ἐφ' ἱπποπόλων Θρῃκῶν ὄρεα νιφόεντα,
Ἀκροτάτας κορυφὰς, οὐδὲ χθόνα μάρπτε ποδοῖιν.
Ἐξ Ἀθόω δ' ἐπὶ πόντον ἐβήσατο κυμαίνοντα.

φέσι. λευκοῖς. πρέσβα.] ἐντιμοτάτη. συγκοπὴ τοῦ πρέσβειρα. αὔδα.] λέγε. ὅτι φρονέεις.] ὅπερ βούλει. τετελεσμένον.] νῦν δυνατόν. ἵμερον.] ἐπιθυμίαν. δαμνᾷ.] δαμάζεις. εἶμι.] πορεύομαι. ἄπειμι. πολυφόρβου.] πολυτρόφου. πείρατα.] πέρατα. τέλη. θεῶν γένεσιν.] θεῶν πατέρα. ἐπεὶ πρῶτον στοιχεῖον τινὲς τῶν φυσικῶν εἶπον τὸ ὕδωρ. καὶ ἐξ αὐτοῦ τὰ λοιπὰ τρία ὅθεν ὁ Πίνδαρος ἄριστον εἶπε τὸ ὕδωρ. Τηθὺν δέ φησι τὴν γῆν. οἱονεὶ τιθηνήν τινά οὖσαν καὶ τροφὸν πάντων. σφοῖσι τοῖς ἑαυτοῦ. ἐΰτρεφον.] μετ' ἐπιμελείας ἀνῆγον. ἀτίταλλον.] ἐπαιδοτρόφουν. Ῥείης.] τῆς Ῥέας. εὐρύοπα.] ἤτοι μεγαλόφθαλμος. ἀπὸ τοῦ πάντα ἐποπτεύειν. ἢ μεγαλόφωνος. καθεῖσε.] καθίδρυσε. καί σφ' ἄκριτα νείκεα λύσω.] καὶ τὰς πολλὰς αὐτῶν καὶ ἀδιαλύτους φιλονεικίας διαλύσω. κείνω.] ἐκείνους, δυικῶς. παραιπεπιθοῦσα.] παραπείσασα. ἐξαπατήσασα. ὁμωθῆναι. ὁμοιωθῆναι. ἑνωθῆναι. εἰς ὁμόνοιαν ἐλθεῖν. αἰδοίη.] αἰδοῦς ἀξία, αἰδέσιμος. οὐκ ἔστ' οὐδὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι.] οὔτε πρέπον, οὔτε δυνατὸν ἀρνήσασθαι περὶ ὧν ἀξιοῖς. ἔοικε.] προσήκει. πρέπει. ἀγκοίνῃσιν.] ἀγκάλαις. ἰαύεις.] κοιμᾶσαι. κεστὸν ἱμάντα.] ζωστῆρα οὕτω καλούμενον, ἀπὸ τοῦ πολυκέντητον αὐτὸν εἶναι ταῖς ῥαφαῖς. θελκτήρια.] τὰ θέλγοντα καὶ ἀπατῶντα τοὺς ἀνθρώπους. ἐνί. ἔνεστι τὸ πλῆρες. φιλότης.] νῦν φιλία. πρὸς μίξιν ὄρεξις. ἐν δ' ὀαριστὺς πάρφασις.] ἔνεστι δὲ καὶ ὁμιλία παραινετική. ἔκλεψεν.] ἐξέκλεψεν. ἔκρυψε. παρελογίσατο. πύκα. νῦν συνετῶς. φρονίμως. τῆ.] ἄγε. λάβε. τεῷ δ' ἐγκάτθεο κόλπῳ. κατάκρυψον τῷ ἰδίῳ κόλπῳ φησὶ διὰ τὴν πρὸς τὸν Δία ἐπιβολήν. ἐγκάτθεο. ἐγκατάθου. τετεύχαται.] ἔγκειται. κατεσκεύασται. ῥίον.] ὄρους ἀκρωτήριον. παρὰ τὸ ῥαίζειν καὶ καταλήγειν εἰς ὀξύ. Πιερίην.] χώραν ἐπὶ τὴν Μακεδονίαν. οἱ δὲ ὄρος. Μακεδὼν ὁ Διὸς καὶ Αἰθρίας κατασχὼν τὴν χώραν οὖσαν τῆς Θρᾴκης. ἀφ' ἑαυτοῦ προσηγόρευσε. γήμας δὲ μίαν τῶν ἐγχωρίων, τεκνοῦται δύο παῖδας, Πίερον, καὶ Ἄμαθον. ἀφ' ὧν δύο πόλεις ἐν Μακεδονίᾳ Πιερία καὶ Ἀμαθία. ἡ ἱστορία παρὰ Μαρσίᾳ. νῦν δὲ Ἠμαθίην καταχρηστικῶς ὅλην τὴν Μακεδονίαν φησί. Πιερίαν δὲ, ὄρος Μακεδονίας ἱερὸν μουσῶν. σεύατο. ὥρμησεν. ἐφ' ἱπποπόλων.] περὶ ἵππους ἀναστρεφομένων. νιφόεντα.] χιονιζόμενα. νιφόμενα. οὐδὲ χθόνα μάρπτε ποδοῖιν.] οὐ δὲ

τοῖς ποσὶν αὐτῆς ἐπέβαινε τῆς γῆς. ἐξ Ἀθόω δ' ἐπὶ πόντον ἐβήσατο.] Ἄθως ὄρος ἐν Θρᾴκῃ μέγα καὶ ὑψηλὸν διῆκον εἰς θάλασσαν, τὸν ἰσθμὸν ἔχον χερρονησῶδη, σταδίων δώδεκα. τοῦτο Ξέρξης ὁ Περσῶν βασιλεὺς ἀγανακτήσας ὅτι πρὸς αὐτὸ νῆες αὐτοῦ διεφθάρησαν, διακόψας βατὸν ἐποίησεν. ἡ ἱστορία παρὰ Ἡροδότῳ. ἐξ Ἀθόω.] ἐκ τοῦ Ἄθω ὅ ἐστιν ὄρος Θρᾴκης ὑψηλόν. ἐπὶ πόντον ἐβήσατο.] ἀντὶ τοῦ θαλάσσης ἐπέβη. κυμαίνοντα.] κύματα ἔχοντα, ταρασσόμενον.

Λῆμνον δ' εἰσαφίκανε πόλιν θείοιο Θόαντος,
Ἔνθ' ὕπνῳ ξύμβλητο κασιγνήτῳ θανάτοιο.
Ἔν τ' ἄρα οἱ φῦ χειρί, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν.
Ὕπνε ἄναξ πάντων τε θεῶν, πάντων τ' ἀνθρώπων,
Ἠμὲν δή ποτ' ἐμὸν ἔπος ἔκλυες ἠδ' ἔτι καὶ νῦν
Πείθευ, ἐγὼ δέ καί τοι εἰδέω χάριν ἤματα πάντα.
Κοίμησόν μοι Ζηνὸς ὑπ' ὀφρύσιν ὄσσε φαεινώ.
Αὐτίκ' ἐπεί κεν ἐγὼ παραλέξομαι ἐν φιλότητι.
Δῶρα δέ τοι δώσω, καλὸν θρόνον ἄφθιτον αἰεὶ
Χρύσεον, Ἥφαιστος δέ κ' ἐμὸς πάϊς ἀμφιγυήεις
Τεύξει ἀσκήσας, ὑπὸ δὲ θρῆνυν ποσὶν ἥσει.
Τῷ κεν ἐπισχοίης λιπαροὺς πόδας εἰλαπινάζων.
Τὴν δ' ἀπαμειβόμενος προσεφώνεε νήδυμος ὕπνος.
Ἥρη πρέσβα θεὰ θύγατερ μεγάλοιο Κρόνοιο.
Ἄλλον μέν κεν ἔγωγε θεῶν αἰειγενετάων.
Ῥεῖα κατευνήσαιμι, καὶ ἂν ποταμοῖο ῥέεθρα
Ὠκεανοῦ, ὅσπερ γένεσις πάντεσσι τέτυκται.
Ζηνὸς δ' οὐκ ἂν ἔγωγε Κρονίονος ἄσσον ἱκοίμην,
Οὐδὲ κατευνήσαιμ' ὅτε μὴ αὐτός γε κελεύοι.
Ἤδη γάρ με καὶ ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμή.
Ἤματι τῷ ὅτε κεῖνος ὑπέρθυμος Διὸς υἱός.
Ἔπλεεν Ἰλιόθεν Τρώων πόλιν ἐξαλαπάξας.
Ἤτοι ἐγὼ μὲν ἔθελξα Διὸς νόον αἰγιόχοιο.
Νήδυμος ἀμφιχυθείς, σὺ δέ οἱ κακὰ μήσαο θυμῷ.
Ὄρσασ' ἀργαλέων ἀνέμων ἐπὶ πόντον ἀήτας,
Καί μιν ἔπειτα Κόωνδ' εὖ ναιομένην ἀπένεικας.
Νόσφι φίλων πάντων, ὃ δ' ἐπεγρόμενος χαλέπαινε
Ῥιπτάζων κατὰ δῶμα θεούς, ἐμὲ δ' ἔξοχα πάντων
Ζήτει, καί κέ μ' ἄϊστον ἀπ' αἰθέρος ἔμβαλε πόντῳ,
Εἰ μὴ νὺξ δμήτειρα θεῶν ἐσάωσε καὶ ἀνδρῶν,
Τὴν ἱκόμην φεύγων, ὃ δ' ἐπαύσατο χωόμενός περ
Ἅζετο γὰρ μὴ νυκτὶ θοῇ ἀποθύμια ἕρδοι.
Νῦν αὖ τοῦτό μ' ἄνωγας ἀμήχανον ἄλλο τελέσσαι.
Τὸν δ' αὖτε προσέειπε, βοῶπις πότνια Ἥρη.
Ὕπνε τίη δὲ σὺ ταῦτα μετὰ φρεσὶ σῇσι μενοινᾷς;
Ἦ φῂς ὡς Τρώεσσιν ἀρηξέμεν εὐρύοπα Ζῆν,
Ὡς Ἡρακλῆος περιχώσατο παιδὸς ἑοῖο.

Ἀλλ'

πόλιν.] ἀντὶ τοῦ νῆσον. Λῆμνον δ' εἰσαφίκανε πόλιν θείοιο Θόαντος ἔνθ' ὕπνῳ ξύμβλητο.] ξύμβλητο. συνέτυχε, διὰ ποίαν δὲ αἰτίαν ἐν τῇ Λήμνῳ μάλιστα ὁ ὕπνος διατρίβει. ῥητέον ὅτι Λήμνου μὲν ἦν δεσπότης Ἥφαιστος. γυνὴ δὲ τούτου Χάρις. Πασιθέας δὲ τῆς Χάριτος ἀδελφῆς ἐρωτικῶς ἔχων ὁ ὕπνος ἐκεῖ διέτριβε. ταύτην δὲ αὐτῷ ἐπαγγέλλεται γυναῖκα δώσειν ἡ Ἥρα. δύναται δὲ καὶ φυσικώτερον λυθῆναι. ὅτι οἰνοφόρος ἡ Λῆμνος. καθὼς λέγει, νῆες δ' ἐκ Λήμνοιο παρέστασαν οἶνον ἄγουσαι. τοῖς δὲ πολυποτοῦσι μάλιστα ὁ ὕπνος παρέπεται. ξύμβλητο.] ἀπήντησε, συνέτυχε. φῦ.] ἐνέφυ, συνέπλεξεν. εἰδέω χάριν.] γνώσομαι καὶ προσομολογήσω σοι χάριν. θρῆνυν.] ὑποπόδιον ἀρσενικῶς. ἥσει.] ὑποθήσει. εἰλαπινάζων.] εὐωχούμενος. ἤδη γάρ με καὶ ἄλλο τεή.] ἢ κατ' ἄλλο. ἵν' ᾖ ἤδη γάρ με καὶ κατ' ἄλλο ἐπαίδευσεν ἡ σὴ πρόσταξις. ἢ ἄλλοτε με ἐπίνυσσεν ἐφετμή. τουτέστι τῇ ἰδίᾳ ἐσωφρόνισε καὶ ἐνουθέτησεν ἐντολῇ καὶ ἀπειλῇ. ἔθελξα.] κατεκοίμισα. ἀμφιχυθείς.] περιχυθείς. μήσαο.] ἐμηχανήσω, ἐβουλεύσω. ὄρσασα.] εἰς ὁρμὴν ἀγαγοῦσα, διεγείρασα. ἀήτας.] τὰς τῶν ἀνέμων πνοάς. Κόων δέ.] εἰς τὴν Κῶν νῆσον. γράφεται δὲ σὺν τῷ ν. κατ' αἰτιατικήν. Ἡρακλῆς ἀνακομιζόμενος μετὰ τὸ πορθῆσαι Τροίαν γενόμενός τε κατὰ τὸ Αἰγαῖον πέλαγος βουλήσει Ἥρας, σφοδρῷ συνεσχέθη ἀνέμῳ. κατασυρθείς τε εἰς Κῶν τὴν Μεροπίδα, ἐκωλύθη ἐπιβῆναι τῆς νήσου ὑπὸ Εὐρυπύλου τοῦ Ποσειδῶνος βασιλεύοντος αὐτῆς. βιασάμενος δὲ καὶ ὡς λῃστὴς ἐπιβάς, ἀνεῖλε τόν τε Εὐρύπυλον καὶ τοὺς παῖδας αὐτοῦ. μιγεὶς δὲ τῇ θυγατρὶ αὐτοῦ Χαλκιόπῃ, Θεσσαλὸν ἐγέννησεν. ἀπένεικας.] ἀπήνεγκας. ἐπεγρόμενος.] ἐπαναστάς, διυπνισθείς. ὁ δ' ἐπεγρόμενος χαλέπαινε ῥιπτάζων.] ἀντιστροφή ἐστιν ἀντὶ τοῦ χαλεπαίνων ἔρριπτε. μή ποτε οὖν τις ἀφ' ἑτέρας ἀρχῆς ἀναγιγνώσκῃ τὸ ῥιπτάζων. χαλέπαινεν.] ὠργίζετο. ῥιπτάζων.] ῥίπτων, συνελαύνων. ἔξοχα.] μάλιστα. καί κέ μ' ἄϊστον ἀπ' αἰθέρος.] καὶ ἂν ἰδών με ἀνιστόρητον καὶ ἀφανῆ ἐποίησε βαλὼν ἀπὸ τοῦ οὐρανοῦ εἰς θάλασσαν. δμήτειρα θεῶν.] ἡ δαμάτειρα ὅ ἐστιν ἄρχουσα. ἱκόμην.] ἱκέτευον, παρεγενόμην. ἅζετο.] ἐνετρέπετο. ἀποθύμια.] ἀηδῆ. οὐκ ἀρεστά. ἀποθύμια ἕρδοι.] ἐχθρὰ πράξει. θοῇ.] ἤτοι ὅτι διὰ τὸν ὕπνον θᾶττον ὡς πρὸς τὴν ἡμέραν παρεῖναι.

παρέναι. ἢ θεία. ἀμήχανον.] ἄπορον. ἀδύνατον. μενοινᾷς.] προθυμῇ. σπουδάζεις. Ζῆν'.] τὸ πλῆρες Ζῆνα. ὁπλοτεράων.] νεωτέρων. ὀπυιέμεναι.] γῆμαι. χήρατο.] ἐχάρη. ἄατον.] ἤτοι ἀβλαβές. ἢ πολυβλαβές. χειρὶ δὲ τῇ ἑτέρῃ μὲν ἕλε χθόνα πουλυβότειραν. τῇ δ' ἑτέρῃ ἅλα μαρμαρέην.] τὰ βαρύτατα τῶν στοιχείων ὄμνυσι.

Ἀλλ' ἴθ' ἐγὼ δέ καί τοι χαρίτων μίαν ὁπλοτεράων
Δώσω ὀπυιέμεναι καὶ σὴν κεκλῆσθαι ἄκοιτιν
Πασιθέην, ἧς αἰὲν ἱμείρεαι ἤματα πάντα.
Ὣς φάτο, χήρατο δ' ὕπνος, ἀμειβόμενος δὲ προσηύδα.
Ἄγρει νῦν μοι ὄμοσσον ἄατον Στυγὸς ὕδωρ.
Χειρὶ δὲ τῇ ἑτέρῃ μὲν ἕλε χθόνα πουλυβότειραν,
Τῇ δ' ἑτέρῃ ἅλα μαρμαρέην, ἵνα νῶϊν ἅπαντες
Μάρτυροι ὦσ' οἱ ἔνερθε θεοὶ Κρόνον ἀμφὶς ἐόντες,
Ἦ μὲν ἐμοὶ δώσειν χαρίτων μίαν ὁπλοτεράων
Πασιθέην, ἧς τ' αὐτὸς ἐέλδομαι ἤματα πάντα.
Ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη,
Ὤμνυε δ' ὡς ἐκέλευε, θεοὺς δ' ὀνόμηνεν ἅπαντας
Τοὺς ὑποταρταρίους, οἳ Τιτῆνες καλέονται.
Αὐτὰρ ἐπεί ῥ' ὄμοσέν τε, τελεύτησέν τε τὸν ὅρκον,
Τὼ βήτην Λήμνου τε καὶ Ἴμβρου ἄστυ λιπόντε,
Ἠέρα ἑσσαμένω ῥίμφα πρήσσοντε κέλευθον.
Ἴδην δ' ἱκέσθην πολυπίδακα μητέρα θηρῶν,
Λεκτὸν ὅθι πρῶτον λιπέτην ἅλα, τὼ δ' ἐπὶ χέρσου
Βήτην, ἀκροτάτη δὲ ποδῶν ὑπὸ σείετο ὕλη.
Ἔνθ' ὕπνος μὲν ἔμεινε πάρος Διὸς ὄσσε ἰδέσθαι,
Εἰς ἐλάτην ἀναβὰς περιμήκετον, ἣ τότ' ἐν Ἴδῃ
Μακροτάτη πεφυυῖα δι' ἠέρος αἰθέρ' ἵκανεν.
Ἔνθ' ἧστ' ὄζοισιν πεπυκασμένος εἰλατίνοισιν,
Ὄρνιθι λιγυρῇ ἐναλίγκιος, ἥν τ' ἐν ὄρεσσι
Χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ Κύμινδιν.
Ἥρη δὲ κραιπνῶς προσεβήσετο Γάργαρον ἄκρον,
Ἴδης ὑψηλῆς, ἴδε δὲ νεφεληγερέτα Ζεύς.
Ὡς δ' ἴδεν, ὥς μιν ἔρως πυκινὰς φρένας ἀμφεκάλυψεν,
Οἷον ὅτε πρώτιστον ἐμισγέσθην φιλότητι,
Εἰς εὐνὴν φοιτῶντε φίλους λήθοντε τοκῆας.
Στῆ δ' αὐτῆς προπάροιθεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν.
Ἥρη, πῇ μεμαυῖα κατ' Οὐλύμπου τόδ' ἱκάνεις;
Ἵπποι δ' οὐ παρέασι καὶ ἅρματα, τῶν κ' ἐπιβαίης.
Τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη.
Ἔρχομαι ὀψομένη πολυφόρβου πείρατα γαίης,
Ὠκεανόν τε θεῶν γένεσιν, καὶ μητέρα Τηθύν.
Οἵ μ' ἐν σφοῖσι δόμοισιν ἐΰτρεφον ἠδ' ἀτίταλλον.
Τοὺς εἶμ' ὀψομένη καὶ σφ' ἄκριτα νείκεα λύσω,
Ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται,
Εὐνῆς καὶ φιλότητος ἐπεὶ χόλος ἔμπεσε θυμῷ.

Ἵπποι

καθάπερ ἐν τῇ συνηθείᾳ λέγομεν ξηρὸν καὶ ὑγρόν. μαρμαρέην.] λευκήν. θεοὶ Κρόνον ἀμφὶς ἐόντες.] οἱ περὶ τὸν Κρόνον θεοί. λέγει δὲ τοὺς τιτᾶνας, οὗτοι δέ εἰσιν Οὐρανοῦ παῖδες, Κρόνος, Κρεῖος, Ὑπερίων, Ἰαπετός. Κοῖος, Ὠκεανοῦ. ὥσπερ τε γένεσις πάντεσσι τέτυκται. ἐπεὶ γὰρ ὕδατος αἱ αὐξήσεις ὑπάρχουσι. πῶς Ἡσιόδου πάντων πρῶτον εἰπόντος γεγενῆσθαι τὸ χάος, Ὅμηρός φησιν Ὠκεανόν. ῥητέον, οὖν ὅτι ἕκαστος μὲν εἴρηκεν ὡς ἐβούλετο. Ὅμηρος δέ φησι φιλοσοφώτερον. τὸ γὰρ ὕδωρ τῶν πάντων ἡ ζωή, καὶ προέχει τῶν τεσσάρων στοιχείων, ὅλα ὄν. ὅθεν καὶ ὁ Πίνδαρος, ἄριστον αὐτό φησιν. ὀνόμηνεν.] ὠνόμασε. τελεύτησεν.] ἐπλήρωσεν. Ἴμβρου.] Ἴμβρος νῆσος, Θρᾴκης. ἠέρα.] ὁμίχλην. σκότος. μητέρα θηρῶν.] μητέρα θηρίων. θηριοτρόφος γὰρ ἡ Ἴδη διὰ τὸ πολὺ τῆς ὕλης. Λεκτόν. ἀκρωτήριον τῆς Ἴδης κεκλημένον ἀπὸ τοῦ ἐν αὐτῷ κατακλιθῆναι Δία καὶ Ἥραν. τρία τὰ πάντα ἀκρωτήρια τῆς Ἴδης. Λεκτόν. Γάργαρον. Φαλάκρα. ἐπὶ χέρσου.] ἐπὶ τῆς γῆς. περιμήκετον.] πάνυ ὑψηλήν. ἣ τότ' ἐν Ἴδῃ μακροτάτη πεφυυῖα.] διὰ τοῦτο τότε ἀνήρηκε τὸ ψεῦδος ὥστε μὴ ζητεῖν αὐτήν. πεπυκασμένος.] ἐσκεπασμένος, εἰλατίνοισιν.] ἐλατίναις. λιγυρῇ.] ὀξείᾳ. χαλκίδα.] χαλκὶς εἶδος ὀρνέου. ἥ τις καλεῖται κύμινδις ἀπὸ τῆς φωνῆς. κύμινδιν.] ὁ κύμινδις οἰκεῖ μὲν ὄρη. ἔστι δὲ μέλας χαλκίζων τὴν χροιάν: καὶ μέγεθος ἴσον ἱέραξ φασσοφόνος, ὥς φησιν Ἀριστοτέλης. παρὰ δέ τισι θηλυκῶς λέγεται. εὐεπίπορον δὲ εἰς ὕπνον τὸ ὄρνεον. ἀεὶ δὲ τὴν κεφαλὴν ὑπὸ τοὺς κλάδους κρύπτει. ὡς.] νῦν εὐθέως. ἢ τότε. ἔρος.] ἔρως. αἰολικῶς. πυκινάς.] συνετάς. οἷον ὅτε πρώτιστον ἐμισγέσθην.] Ἥραν τρεφομένην παρὰ τοῖς γονεῦσιν, εἷς τῶν γιγάντων Εὐρυμέδων, βιασάμενος ἔγκυον ἐποίησεν. ἡ δὲ Προμηθέα ἐγέννησε. Ζεὺς δὲ ὕστερον γήμας τὴν ἀδελφήν. καὶ γνοὺς τὰ γενόμενα, τὸν μὲν Εὐρυμέδοντα κατεταρτάρωσε, τὸν δὲ Προμηθέα προφάσει πυρὸς δεσμοῖς ἀνήρτησεν. ἡ ἱστορία παρ' Εὐφορίωνι. εἰς εὐνὴν φοιτῶντε φίλους λήθοντε τοκῆας.] καὶ Ἀπολλόδωρος ἱστορεῖ κρύφα τὸν Δία τῇ Ἥρᾳ συγκαθευδῆσαι.

Ἵπποι δ' ἐν πρυμνωρείῃ πολυπίδακος Ἴδης,
Ἑστᾶσ', οἵ μ' οἴσουσιν ἐπὶ τραφερήν τε καὶ ὑγρήν.
Νῦν δὲ σεῦ εἵνεκα δεῦρο κατ' Οὐλύμπου τόδ' ἱκάνω,
Μήπως μοι μετέπειτα χολώσεαι, αἴ κε σιωπῇ
Οἴχωμαι πρὸς δῶμα βαθυρρόου Ὠκεανοῖο.
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἥρη κεῖσε μὲν ἔστι καὶ ὕστερον ὁρμηθῆναι,
Νῶϊ δ' ἄγ' ἐν φιλότητι τραπείομεν εὐνηθέντε.
Οὐ γάρ πώποτέ μ' ὧδε θεᾶς ἔρος, οὐδὲ γυναικός
Θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσε,
Οὐδ' ὁπότ' ἠρασάμην Ἰξιονίης ἀλόχοιο,
Ἣ τέκε Πειρίθοον θεόφιν μήστωρ' ἀτάλαντον·
Οὐδ' ὅτε περ Δανάης καλλισφύρου Ἀκρισιώνης,
Ἣ τέκε Περσῆα πάντων ἀριδείκετον ἀνδρῶν·
Οὐδ' ὅτε Φοίνικος κούρης τηλεκλειτοῖο,
Ἣ τέκε μοι Μίνω τε καὶ ἀντίθεον Ῥαδάμανθυν·
Οὐδ' ὅτε περ Σεμέλης, οὐδ' Ἀλκμήνης ἐνὶ Θήβῃ,
Ἥ ῥ' Ἡρακλῆα κρατερόφρονα γείνατο παῖδα·
Ἡ δὲ Διώνυσον Σεμέλη τέκε χάρμα βροτοῖσιν·
Οὐδ' ὅτε Δήμητρος καλλιπλοκάμοιο ἀνάσσης,
Οὐδ' ὁπότε Λητοῦς ἐρικυδέος, οὐδὲ σεῦ αὐτῆς,
Ὡς σέο νῦν ἔραμαι, καί με γλυκὺς ἵμερος αἱρεῖ.
Τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
Αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες;

Εἰ νῦν

συγκαθευδῆσαι. πῆ μεμαυῖα.] ποῦ ὁρμήσασα. τὸ δεῦρο.] εἰς τοῦτον τὸν τόπον. ἱκάνεις.] παραγίγνῃ. πρυμνωρείῃ.] πρυμνωρείας καλοῦσι τὰ ἔσχατα καὶ κατώτατα τῶν ὀρῶν. τραφερήν τε καὶ ὑγρήν.] γῆν καὶ θάλασσαν. κεῖσε.] εἰς ἐκεῖνον τὸν τόπον. περιπροχυθείς.] περιπεσών. κατασχών. ἐδάμασσεν.] ὑπέταξεν. ἠρασάμην.] ἠράσθην. Ἰξιονίης ἀλόχοιο.] τῆς Ἰξίονος γυναικός. ἦν δὲ αὕτη θυγάτηρ Ἰονέως. μετὰ δὲ τὸ φθαρῆναι αὐτὴν ὑπὸ Διός, ὕστερον Ἰξίονι ἐζεύχθη. οὐδ' ὅτε περ Δανάης.] Δανάη Ἀκρισίου θυγάτηρ· ἡ Διὶ συγκοιμηθεῖσα, Περσέα ἐγέννησε. χρησομένῳ γάρ φησι τῷ Ἀκρισίῳ περὶ γενέσεως ἀρρένων παίδων, ὁ θεὸς ἔφη τὸν γενόμενον παῖδα ἐκ τῆς θυγατρὸς αὐτοῦ, αὐτὸν κτενεῖν. δείσας δὲ ὁ Ἀκρίσιος κατὰ γῆς θάλαμον χαλκοῦν κατασκευάσας τὴν Δανάην ἐφρούρει. αὕτη δὲ ὥς φησι Πίνδαρος καὶ ἕτεροί τινες ἐφθάρη ὑπὸ τοῦ πατραδέλφου αὐτῆς Προίτου. ὅθεν αὐτοῖς καὶ στάσις ἐκινήθη. ὡς δὲ ἔνιοί φασι, Ζεὺς μεταμορφωθεὶς εἰς χρυσόν, καὶ διὰ τῆς ὀροφῆς εἰσδὺς εἰς τὸν Δανάης κόλπον συνῆλθεν αὐτῇ. αἰσθόμενος δὲ Ἀκρίσιος ὕστερον ἐξ αὐτῆς γεγενημένον Περσέα, μὴ πιστεύσας ὑπὸ Διὸς ἐφθάρθαι τὴν θυγατέρα μετὰ τοῦ παιδὸς εἰς λάρνακα βαλὼν εἰς θάλασσαν ἔρριψε. διασωθέντων δὲ τούτων εἰς Σέριφον τὴν νῆσον, συνέβη ἀνατραφῆναι τὸν παῖδα παρὰ Πολυδέκτῃ. ἢ ὥς ἔνιοί φασιν ὑπὸ Δίκτυος τοῦ ἀδελφοῦ Πολυδέκτου. φυγόντος δὲ ὕστερον Ἀκρισίου, τὴν Ἀργείων βασιλείαν παρέλαβε Περσεύς. καλλισφύρου.] καλοὺς πόδας ἐχούσης. ἀπὸ μέρους καλῆς. ὁ δὲ τρόπος συνεκδοχή. ἀριδείκετον.] μεγάλως εὐπρεπῆ. ἀσπαστόν. Φοίνικος κούρης.] θυγατρός. λέγει δὲ τῆς Εὐρώπης. ἔνιοι δὲ αὐτὴν οὐ Φοίνικος, ἀλλ' Ἀγήνορος εἶπον. τὰ δὲ περὶ αὐτῆς ἀκριβῶς εἴρηται ἐν τῇ μ. ῥαψῳδίᾳ ἐν τοῖς περὶ Σαρπηδόνος. τηλεκλειτοῖο.] μέχρι πόρρω, καὶ πολλοῦ ἐνδόξου. ἢ πάνυ ἐνδόξου. οὐδ' ὅτε περ Σεμέλης.] Σεμέλης τῆς Κάδμου θυγατρὸς Ζεὺς ἐρασθείς, κρύφα συνευνάζετο. ἡ δὲ ἐξαπατηθεῖσα ὑπὸ Ἥρας ἐπινεύσαντος αὐτῇ Διὸς πᾶν τὸ αἰτηθὲν ποιῆσαι, αἰτεῖται τοιοῦτον αὐτὸν ἐλθεῖν οἷος ἦλθε μνηστευόμενος Ἥραν. Ζεὺς δὲ μὴ δυνάμενος ἀνανεῦσαι, παραγίγνεται εἰς τὸν θάλαμον αὐτῆς ἐφ' ἅρματος ἀστραπαῖς καὶ βρονταῖς ὁμοῦ, καὶ κεραυνὸν ἵησιν. Σεμέλης δὲ διὰ τὸν φόβον ἐκλειπούσης, ἑξαμηνιαῖον τὸ βρέφος ὁ Ζεὺς ἐκ τοῦ πυρὸς ἁρπάσας ἐνέρραψε τῷ μηρῷ. ἡ ἱστορία παρ' Εὐριπίδῃ ἐν Βάκχαις. οὐδ' Ἀλκμήνης ἐνὶ Θήβῃ.] Ἀλκμήνης τῆς Ἠλεκτρύονος καὶ Ἀναξοῦς

† ἀλκαίου. τῆς ἀγκαίου † ἠράσθη Ἀμφιτρύων, ὃς ἀνελὼν Ἠλεκτρύονα βοῶν ἀμφισβητήσεως χάριν ἐξ Ἄργους ἔφυγεν εἰς Θήβας. σὺν αὐτῷ δὲ καὶ Ἀλκμήνη. ὑποδεχθέντων δὲ ἀσμένως ὑπὸ τῶν βασιλέων τῆς πόλεως Κρέοντος καὶ Ἡνιόχης, τιμῆς ἐτύγχανον μεγίστης. μὴ βουλομένης δὲ Ἀλκμήνης γαμηθῆναι εἰ μὴ οἱ φονεῖς τῶν ἀδελφῶν αὐτῆς ἀναιρεθῶσιν. κατηγωνίσατο αὐτοὺς Ἀμφιτρύων προσλαβόμενος συμμάχους Βοιωτούς, καὶ Λοκρούς. ἔτι δὲ καὶ Φωκεῖς. ἐνιαυτὸν προσεδρεύσας. ὡς δὲ ἐπιστρέψας ἀπὸ τῆς στρατείας ἦγε τοὺς γάμους ἑαυτοῦ καὶ Ἀλκμήνης, τῇ αὐτῇ νυκτὶ ἐρασθεὶς αὐτῆς ὁ Ζεὺς καὶ εἰκασθεὶς Ἀμφιτρύωνι ἐμίγη, καὶ υἱὸν ἐποίησεν. ὁμοίως δὲ καὶ Ἀμφιτρύων τῇ αὐτῇ νυκτί. ἤδη δὲ ἐκείνης δεκαμηνιαῖον χρόνον τῆς μίξεως ἐχούσης, γεννᾶται Ἡρακλῆς μὲν ἐκ Διός. Ἰφικλῆς δὲ ἐξ Ἀμφιτρύωνος τῇ αὐτῇ νυκτί. φασὶ Δία συγκοιμώμενον Ἀλκμήνῃ, πεῖσαι τὸν Ἥλιον μὴ ἀνατεῖλαι ἐπὶ τρεῖς ἡμέρας. ὅθεν καὶ ἐπὶ τρεῖς νύκτας συγκοιμηθεὶς αὐτῇ ὁ Ζεύς, τὸν τριέσπερον Ἡρακλέα ἐποίησε. χάρμα βροτοῖσι.] χαρὰν τοῖς ἀνθρώποις. διὰ τὸ εὑρεῖν σῦκον καὶ ἄμπελον. καλλιπλοκάμοιο.] ἀλληγορικῶς πλοκάμους τοὺς στάχυας δεῖ νοεῖν. ὡς καὶ ἱστοροῦσιν αὐτὴν ἐστεμμένην τοῖς στάχυσι. Λητοῦς.] Κοίου θυγατρὸς ἑνὸς τῶν Τιτάνων. ἧς δύο παῖδες, Ἀπόλλων καὶ Ἄρτεμις.

Διλάσαι.] ἐπι-

Εἰ νῦν ἐν φιλότητι λιλαίεαι εὐνηθῆναι,
Ἴδης ἐν κορυφῇσι, τὰ δὲ προπέφανται ἅπαντα,
πῶς κ' ἔοι. εἴ τις νῶϊ θεῶν αἰειγενετάων
Εὕδοντ' ἀθρήσειε, θεοῖσι δὲ πᾶσι μετελθὼν
πεφράδοι, οὐκ ἂν ἔγωγε τεὸν πρὸς δῶμα νεοίμην
Ἐξ εὐνῆς ἀνστᾶσα, νεμεσητὸν δέ κεν εἴη.
Ἀλλ' εἰ δή ῥ' ἐθέλεις καί τοι φίλον ἔπλετο θυμῷ.
Ἔστιν τοι θάλαμος, τόν τοι φίλος υἱὸς ἔτευξεν
Ἥφαιστος, πυκινὰς δὲ θύρας σταθμοῖσιν ἐπῆρσεν,
Ἔνθ' ἴομεν κείοντες ἐπεὶ νύ τοι εὔαδεν εὐνή.
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἥρη μή τι θεῶν τό γε δείδιθι, μήτε τιν' ἀνδρῶν
Ὄψεσθαι, τοῖόν τοι ἐγὼ νέφος ἀμφικαλύψω
Χρύσεον, οὐδ' ἂν νῶϊ διαδράκοι ἠέλιός περ,
Οὗ τε καὶ ὀξύτατον πέλεται φάος εἰσοράασθαι.
Ἦ ῥα, καὶ ἀγκὰς ἔμαρπτε Κρόνου παῖς ἣν παράκοιτιν.
Τοῖσι δ' ὑπὸ χθὼν δῖα φύεν νεοθηλέα ποίην.
Λωτόν θ' ἑρσήεντα ἰδὲ κρόκον ἠδ' ὑάκινθον
Πυκνὸν καὶ μαλακὸν, ὃς ἀπὸ χθονὸς ὑψόσ' ἔεργε.
Τῷ ἔνι λεξάσθην, ἐπὶ δὲ νεφέλην ἕσαντο,
Καλὴν, χρυσείην, στιλπναὶ δ' ἀπέπιπτον ἔερσαι.
Ὣς ὁ μὲν ἀτρέμας εὗδε πατὴρ ἀνὰ Γαργάρῳ ἄκρῳ.
Ὕπνῳ καὶ φιλότητι δαμεὶς, ἔχε δ' ἀγκὰς ἄκοιτιν.
Βῆ δὲ θέειν ἐπὶ νῆας Ἀχαιῶν νήδυμος ὕπνος.
Ἀγγελίην ἐρέων γαιηόχῳ ἐννοσιγαίῳ.
Ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα.
Πρόφρων νῦν Δαναοῖσι Ποσείδαον ἐπάμυνον,
Καί σφιν κῦδος ὄπαζε μίνυνθά περ ὄφρ' ἔτι εὕδει
Ζεύς, ἐπεὶ αὐτῷ ἐγὼ μαλακὸν περὶ κῶμα κάλυψα.
Ἥρη δ' ἐν φιλότητι παρήπαφεν εὐνηθῆναι.
Ὣς εἰπὼν, ὁ μὲν ᾤχετ' ἐπὶ κλυτὰ φῦλ' ἀνθρώπων.
Τὸν δ' ἔτι μᾶλλον ἀνῆκεν ἀμυνέμεναι Δαναοῖσιν.
Αὐτίκα δ' ἐν πρώτοισι μέγα προθορὼν ἐκέλευσεν.
Ἀργεῖοι καὶ δ' αὖτε μεθίεμεν Ἕκτορι νίκην
Πριαμίδῃ, ἵνα νῆας ἕλῃ καὶ κῦδος ἄρηται;
Ἀλλ' ὁ μὲν οὕτω φησὶ καὶ εὔχεται οὕνεκ' Ἀχιλλεὺς,
Νηυσὶν ἐπὶ γλαφυρῇσι μένει κεχολωμένος ἦτορ.
Κείνου δ' οὔ τι λίην ποθὴ ἔσσεται, εἴ κεν οἱ ἄλλοι,
Ἡμεῖς ὀτρυνώμεσθ' ἀμυνέμεν ἀλλήλοισιν.
Ἀλλ' ἄγεθ' ὡς ἂν ἐγὼ εἴπω πειθώμεθα πάντες.
Ἀσπίδας ὅσαι ἄρισται ἐνὶ στρατῷ ἠδὲ μέγισται
Ἑσσάμενοι, κεφαλὰς δὲ παναίθησιν κορύθεσσι
Κρύψαντες, χερσίν τε τὰ μακρότατ' ἔγχε' ἑλόντες,
Ἴομεν, αὐτὰρ ἐγὼν ἡγήσομαι, οὐδ' ἔτι φημὶ,
Ἕκτορα Πριαμίδην μενέειν μάλα περ μεμαῶτα.
Ὃς δέ κ' ἀνὴρ μενέχαρμος, ἔχει δ' ὀλίγον σάκος ὤμῳ

Χείρονι

λιλαίεαι.] ἐπιθυμεῖς, προθυμῇ. προπέφανται.] προφανῆ ἐστι, φανερά.

πῶς κ' ἔοι.] πῶς ἂν γένοιτο, τί ἂν εἴη. ἀθρήσειεν.] ἴδοι. τὸ αὐτὸ δὲ δηλοῖ καὶ τὸ διαδράκοι. πεφράδοι.] φράσειε, δηλώσειεν, εἴποι. κείοντες.] κοιμηθησόμενοι. εὔαδεν.] ἤρεσκεν.

ἀγκάς.] εἰς τὰς ἀγκάλας. ἔμαρπτε.] συνελάμβανε. τοῖσι δ' ὑπὸ χθών.] ἐκπεσὼν εἰς φορτικὸν πρᾶγμα τὸ διήγησιν ἐφ' ἑτέρα τὸν λόγον μετήγαγε τὰ ἀπὸ τῆς γῆς φυόμενα ἀνθεῖ καὶ τὸ νέφος. δι' ὧν ἀπέκλεισε τὸ περαιτέρω πολυπραγμονεῖν ἡμᾶς. ἀνθηρῶς δὲ γράφει τὴν εὐνὴν καὶ προθεὶς τὸ γένος, ποίην, ἐπιφέρει τὸ εἶδος. οὐκ εἶπε δὲ ῥόδον διὰ τὸ ἀκανθῶδες. νεοθηλέα δὲ ἐπεὶ τῶν ἄλλων ἐνεμήθη καὶ ἐπαύξησε τὰ ζῷα. κατὰ συλλογισμὸν ἢ ὑπεροχὴν, εἴ γε καὶ τὰ ἄψυχα αἰσθάνεται τῆς δυνάμεως τοῦ θεοῦ. δῖα.] ἡ μεγάλη, καὶ θαυμαστή. φύεν.] ἀνέφυσεν, ἀνέδωκε. νεοθηλέα.] νεωστὶ θάλλουσαν, χλωράν. ποίην.] βοτάνην. λωτόν.] λωτὸς εἶδος χόρτου ἐλείου, διὸ καὶ δροσήεντα, ὅ ἐστι δροσώδη. κρόκον.] κρόκος, εἶδος ἄνθους, ὡς καὶ ὁ ὑάκινθος. μαλακόν.] ἁπαλόν. ὑψόσ' ἔεργε.] εἰς ὕψος ἐβάσταζε. ὃς ἀπὸ χθονὸς ὑψόσ' ἔεργε.] ὃς αὐτοὺς οὐκ εἴα ἐπὶ γῆς θλίβεσθαι, ἀλλ' ἀνεῖχε καὶ ἀπεκώλυεν αὐτούς. λεξάσθην.] κατεκοιμήθησαν. στιλπναί.] στίλβουσαι, λαμπραί. ἔερσαι.] δρόσοι, σταλαγμοί.

ὄπαζε.] περιεποίει. κῶμα.] τὸ κοίμημα. παρήπαφε.] παρηπάτησε, παρέπεισε. προθορών.] προαλλόμενος, προπηδήσας. Ἀργεῖοι καὶ δ' αὖτε μεθίεμεν Ἕκτορι νίκην.] μεθίεμεν, παραχωροῦμεν. ταῦτα δὲ καὶ τὰ ἑξῆς κατ' ἐπερώτησιν ἀναγνωστέον.

ἄρηται.] καρπώσηται, λάβῃ. ποθή.] ἐπιζήτησις, χρεία. ἑσσάμενοι.] λαβόντες, καθοπλισάμενοι. παναίθῃσι.] πάνυ στιλπναῖς, λαμπραῖς. μενέχαρμος.] ὑπομονητικὸς ἐν μάχῃ.

ὀλίγον σάκος.] ἀντὶ τοῦ μικρὰν ἀσπίδα. ἔστι δὲ προσθετέος αὐτῇ τηλικοῦτος. χέρονι.]

χείρονι.] ἐλάττονι. ἐκόσμεον.] διέτασσον. οἰχόμενοι δ' ἐπὶ πάντας. πάντας ἐπερχόμενοι. ἄμειβον.] νῦν ἤλασσον. ἐσθλά.] γενναῖα. δόσκεν.] ἐδίδου. νώροπα.] λαμπρόν. τανύηκες.] ἐπὶ μῆκος ἠκονημένον. μακρὰν καὶ παρατεταμένην ἔχον τὴν ἀκμήν. ἀστεροπῇ.] ἀστραπῇ. τῷ δ' οὐ θέμις ἐστὶ μιγῆναι ἐν δαῒ λευγαλέῃ.] τῷ δὲ Ποσειδῶνι οὐ δίκαιόν ἐστι μιχθῆναι ἐν τῇ ὀλεθρίᾳ μάχῃ. ἰσχάνει.] κατέχει. λαμβάνει. ἀλλὰ δέος ἰσχάνει ἄνδρας.] πεπείκται γὰρ εἰς φόβον οὐκ εἰς φόνον. κυανοχαῖτα.] μελανόθριξ. βοάᾳ.] βοᾷ, ἠχεῖ. προτὶ χέρσον.] προσρηγνύμενον τῇ γῇ. πόντοθεν.] ἐκ τῆς θαλάσσης ὁρμῶν. βρόμος.] κυρίως ὁ τοῦ πυρὸς ἦχος. ὅθεν καὶ Βρόμιος ἀπὸ τοῦ πυρός. ἐν οἷς οἱ ποιηταὶ καὶ τὸν μῦθον ἔπλασαν ὅτι ἐκ Διὸς καὶ Σεμέλης ἐστὶ βληθείσης τῷ κεραυνῷ. καὶ ὅτι πυρογενής ἐστιν. ὤρετο.] ὥρμησεν. ἠπύει.] βοᾷ. ἠχεῖ. Αἴαντος ἀκόντισεν.] ἀντὶ τοῦ κατὰ τοῦ Αἴαντος ἔβαλεν. πρὸς ἰθύ οἱ.] πρὸς εὐθὺ αὐτοῦ. τελαμῶνε.] οἱ ἀναφορεῖς. τετάσθην.] ἐτέταντο. τώ οἱ ῥυσάσθην τέρενα χρόα.] ἀντὶ τοῦ οἵτινες τελαμῶνες ἐφύλαξεν αὐτοῦ τὸ σῶμα ἄτρωτον. χώσατο.] νῦν ἐλυπήθη. ἀείρας.] ἄρας. στρόμβον.] ὡς ῥόμβον περιφερῆ. λέγει δὲ τὸν καλούμενον βέμβικα. δίκην οὖν ῥόμβου ἐποίησεν αὐτὸν στρέφεσθαι, σφοδρῶς πλήξας. ἔσσευε.] κινεῖσθαι ἐποίησε. περὶ δ' ἔδραμε.] παρῆλθεν. ἢ πέριξ. ἐξερίπῃ.] ἐκπέσῃ. πρόῤῥιζος.] μέχρι ῥιζῶν. θεείου.] θείου. προσληπτέον δὲ κεραυνοῦ. ὀδμή.] ποιότης, πνοή. τὸν δ' οὔπερ ἔχει θράσος ὅσκεν ἴδηται.] πάντες δὲ αὐτὸν καταπλήττονται οἱ ἰδόντες. ἐπ' αὐτῷ δ' ἀσπὶς ἑάφθη.] ἐπικατεκάμφθη δὲ αὐτῷ ἡ ἀσπίς. ὅ ἐστι κατηνέχθη.

αἰχμάς.]

Χείρονι φωτὶ δότω, ὁ δ' ἐν ἀσπίδι μείζονι δύτω.
Ὣς ἔφαθ'. οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο.
Τοὺς δ' αὐτοὶ βασιλῆες ἐκόσμεον, οὐτάμενοί περ.
Τυδεΐδης Ὀδυσεύς τε, καὶ Ἀτρεΐδης Ἀγαμέμνων.
Οἰχόμενοι δ' ἐπὶ πάντας, ἀρήϊα τεύχε' ἄμειβον.
Ἐσθλὰ μὲν ἐσθλὸν ἔδυνε, χέρεια δὲ χείρονι δόσκεν.
Αὐτὰρ ἐπεί ῥ' ἕσσαντο περὶ χροῒ νώροπα χαλκόν,
Βάν ῥ' ἴμεν, ἦρχε δ' ἄρα σφι Ποσειδάων ἐνοσίχθων.
Δεινὸν ἄορ τανύηκες ἔχων ἐν χειρὶ παχείῃ
Ἴκελον ἀστεροπῇ τῷ δ' οὐ θέμις ἐστὶ μιγῆναι,
Ἐν δαῒ λευγαλέῃ, ἀλλὰ δέος ἰσχάνει ἄνδρας.
Τρῶας δ' αὖθ' ἑτέρωθεν ἐκόσμει φαίδιμος Ἕκτωρ.
Δή ῥα τότ' αἰνοτάτην ἔριδα πτολέμοιο τάνυσσαν.
Κυανοχαῖτα Ποσειδάων καὶ φαίδιμος Ἕκτωρ.
Ἤτοι ὁ μὲν Τρώεσσιν, ὁ δ' Ἀργείοισιν ἀρήγων.
Ἐκλύσθη δὲ θάλασσα ποτὶ κλισίας τε νέας τε
Ἀργείων, οἱ δὲ ξύνισαν μεγάλῳ ἀλαλητῷ.
Οὔτε θαλάσσης κῦμα τόσον βοάᾳ ποτὶ χέρσον,
Πόντοθεν ὀρνύμενον πνοιῇ Βορέω ἀλεγεινῇ,
Οὔτε πυρὸς τόσος τε ποτὶ βρόμος αἰθομένοιο,
Οὔρεος ἐν βήσσῃς ὅτε τ' ὤρετο καιέμεν ὕλην.
Οὔτ' ἄνεμος τόσος γε ποτὶ δρυσὶν ὑψικόμοισιν
Ἠπύει, ὅς τε μάλιστα μέγα βρέμεται χαλεπαίνων
Τόσση ἄρα Τρώων καὶ Ἀχαιῶν ἔπλετο φωνὴ
Δεινὸν ἀϋσάντων, ὅτ' ἐπ' ἀλλήλοισιν ὄρουσαν.
Αἴαντος δὲ πρῶτος ἀκόντισε φαίδιμος Ἕκτωρ
Ἔγχει, ἐπεὶ τέτραπτο πρὸς ἰθὺ οἱ, οὐδ' ἀφάμαρτε,
Τῇ ῥα δύω τελαμῶνε περὶ στήθεσσι τετάσθην.
Ἤτοι ὁ μὲν σάκεος, ὁ δὲ φασγάνου ἀργυροήλου.
Τώ οἱ ῥυσάσθην τέρενα χρόα, χώσατο δ' Ἕκτωρ,
Ὅττι ῥά οἱ βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρός.
Ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ' ἀλεείνων,
Τὸν μὲν ἔπειτ' ἀπιόντα μέγας Τελαμώνιος Αἴας,
Χερμαδίῳ, τά ῥα πολλὰ θοάων ἔχματα νηῶν
Πὰρ ποσὶ μαρναμένων ἐκυλίνδετο, τῶν ἓν ἀείρας,
Στῆθος βεβλήκει ὑπὲρ ἄντυγος ἀγχόθι δειρῆς.
Στρόμβον δ' ὣς ἔσσευε βαλών, περὶ δ' ἔδραμε πάντῃ.
Ὡς δ' ὅθ' ὑπὸ ῥιπῆς πατρὸς Διὸς ἐξερίπῃ δρῦς
Πρόῤῥιζος, δεινὴ δὲ θεείου γίνεται ὀδμὴ
Ἐξ αὐτῆς, τὸν δ' οὔπερ ἔχει θράσος ὅς κεν ἴδηται
Ἐγγὺς ἐών, χαλεπὸς δὲ Διὸς μεγάλοιο κεραυνός.
Ὣς ἔπεσ' Ἕκτορος ὦκα χαμαὶ μένος ἐν κονίῃσι.
Χειρὸς δ' ἔκβαλεν ἔγχος ἐπ' αὐτῷ δ' ἀσπὶς ἑάφθη
Καὶ κόρυς, ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
Οἱ δὲ μέγα ἰάχοντες ἐπέδραμον υἷες Ἀχαιῶν,
Ἐλπόμενοι ἐρύεσθαι, ἀκόντιζον δὲ θαμειὰς

Αἰχμάς.

αἰχμάς· ἀλλ' οὔτις ἐδυνήσατο ποιμένα λαῶν
οὐτάσαι οὐδὲ βαλεῖν· πρὶν γὰρ περίβησαν ἄριστοι,
Πουλυδάμας τε καὶ Αἰνείας καὶ δῖος Ἀγήνωρ,
Σαρπηδών τ' ἀρχὸς Λυκίων καὶ Γλαῦκος ἀμύμων,
τῶν δ' ἄλλων οὔτις εὖ ἀκήδησεν. ἀλλὰ πάροιθεν
ἀσπίδας εὐκύκλους σχέθον αὐτοῦ. τὸν δ' ἄρ' ἑταῖροι
χερσὶν ἀείραντες φέρον ἐκ πόνου ὄφρ' ἵκεθ' ἵππους
ὠκέας. οἵ οἱ ὄπισθε μάχης ἠδὲ πτολέμοιο
ἕστασαν, ἡνίοχόν τε καὶ ἅρματα ποικίλ' ἔχοντες.
οἳ τόν γε προτὶ ἄστυ φέρον βαρέα στενάχοντα.
ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐϋρρεῖος ποταμοῖο
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς,
ἔνθα μιν ἐξ ἵππων πέλασαν χθονί, κὰδ δέ οἱ ὕδωρ
χεῦαν. ὁ δ' ἀμπνύνθη καὶ ἀνέδρακεν ὀφθαλμοῖσιν.
ἑζόμενος δ' ἐπὶ γοῦνα κελαινεφὲς αἷμ' ἀπέμεσσεν.
αὖτις δ' ἐξοπίσω πλῆτο χθονί. τὼ δέ οἱ ὄσσε
νὺξ ἐκάλυψε μέλαινα, βέλος δ' ἔτι θυμὸν ἐδάμνα.
Ἀργεῖοι δ' ὡς οὖν ἴδον Ἕκτορα νόσφι κιόντα.
μᾶλλον ἐπὶ Τρώεσσι θόρον, μνήσαντο δὲ χάρμης.
ἔνθα πολὺ πρώτιστος Ὀϊλῆος ταχὺς Αἴας
Σάτνιον οὔτασε δουρὶ μετάλμενος ὀξυόεντι
Ἠνοπίδην, ὃν ἄρα νύμφη τέκε νηῒς ἀμύμων,
Ἤνοπι βουκολέοντι παρ' ὄχθας Σατνιόεντος.
τὸν μὲν Ὀϊλιάδης δουρικλυτὸς ἐγγύθεν ἐλθὼν,
οὖτα κατὰ λαπάρην. ὁ δ' ἀνετράπετ'. ἀμφὶ δ' ἄρ' αὐτῷ
Τρῶες καὶ Δαναοὶ σύναγον κρατερὴν ὑσμίνην.
τῷ δ' ἔπι Πουλυδάμας ἐγχέσπαλος ἦλθεν ἀμύντωρ
Πανθοΐδης, βάλε δὲ Προθοήνορα δεξιὸν ὦμον
υἱὸν Ἀρηϊλύκοιο. δι' ὤμου δ' ὄβριμον ἔγχος
ἔσχεν. ὁ δ' ἐν κονίῃσι πεσὼν, ἕλε γαῖαν ἀγοστῷ.
Πουλυδάμας δ' ἔκπαγλον ἐπεύξατο μακρὸν ἀΰσας,
οὐ μὰν αὖτ' οἴω μεγαθύμου Πανθοΐδαο
χειρὸς ἄπο στιβαρῆς, ἅλιον πηδῆσαι ἄκοντα,
ἀλλά τις Ἀργείων κόμισε χροΐ καί μιν ὀΐω,
αὐτῷ σκηπτόμενον κατίμεν δόμον Ἄϊδος εἴσω.
Ὣς ἔφατ' Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο,
Αἴαντι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινε,
τῷ Τελαμωνιάδῃ. τοῦ γὰρ πέσεν ἄγχι μάλιστα.
καρπαλίμως δ' ἀπιόντος, ἀκόντισε δουρὶ φαεινῷ.
Πουλυδάμας δ' αὐτὸς μὲν, ἀλεύατο κῆρα μέλαιναν,
λικριφὶς ἀΐξας, κόμισεν δ' Ἀντήνορος υἱὸς
Ἀρχέλοχος, τῷ γάρ ῥα θεοὶ βούλευσαν ὄλεθρον.
τόν ῥ' ἔβαλεν κεφαλῆς τε καὶ αὐχένος ἐν συνεοχμῷ,
νείατον ἀστράγαλον, ἀπὸ δ' ἄμφω κέρσε τένοντε,
τοῦ δὲ πολὺ προτέρη κεφαλὴ, στόμα τε, ῥῖνές τε,
οὔδει πλῆντ' ἤ περ κνῆμαι καὶ γοῦνα πεσόντος.

Αἴας δ'

αἰχμάς.] ἀκόντια. περίβησαν.] ὑπερεμάχησαν. οὔτις εὖ ἀκήδησεν.] οὐδεὶς δὲ αὐτοῦ ἠμέλησε. καὶ οὐ φροντίστησε. πόρον ἷξον.] παρεγίνοντο εἰς τὸ διαβατὸν καὶ πορεύσιμον μέρος τοῦ ποταμοῦ. Ξάνθου δινήεντος ὃν ἀθάνατος τέκετο Ζεύς.] ἰδίως τὸν μὲν σωματικὸν Ξάνθον Διὸς γενεαλογεῖ. τὸν δὲ ποταμὸν Ὠκεανοῦ λέγει, ἐξ οὗπερ πάντες ποταμοὶ, καὶ πᾶσα θάλασσα „ καὶ πᾶσαι κρῆναι. καὶ φρέατα μακρὰ νάουσι. „ πέλασαν χθονί.] ἔθεσαν εἰς τὴν γῆν. „ ἀμπνύνθη.] ἔμφρων ἐγένετο, λειποθυμήσας. ἀνέδρακεν.] ἀνέβλεψεν. ἑζόμενος δ' ἐπὶ γοῦνα.] διαναστὰς ἐπὶ γόνατα. ἀπέμεσσεν.] ἀπήμεσεν. ἀπέμει. πλῆτο προσεπελάσθη. βέλος.] ἡ ἀπὸ τῆς βολῆς ὀδύνη ἢ ὁ βεβλημένος τόπος. ἐδάμνα.] κατεπόνει. θόρων.] ὥρμησαν. μετάλμενον.] ἐπιπηδῶντα. Σατνιόεντος.] Σατνιοῦς ποταμοῦ. κατὰ λαπάρην.] κατὰ τὴν λαγόνα. ἀνετράπετο.] εἰς τοὐπίσω ἀνετράπη. ἀμύντωρ.] βοηθός. ἔσχε.] διῆλθεν. ἀγοστῷ.] ἀγκάλῃ. οὐ μὰν αὖτ' οἴω μεγαθύμου Πανθοΐδαο.] ἑαυτὸν λέγει. πηδῆσαι ἄκοντα.] ἀντὶ τοῦ πεπηδηκέναι. καὶ ἐξωρμηθῆναι. ἄκοντα.] ἀκόντιον. κόμισεν.] ὑπεδέξατο. χροΐ.] τῷ σώματι. σκηπτόμενον.] σκηριπτόμενον. ἐρειδόμενον. λικριφὶς ἀΐξας.] εἰς πλάγιον ὁρμήσας, ὅ ἐστιν ἐγκλίνας. ἐν συνεοχμῷ.] ἐν τῇ συναφῇ τοῦ ἰνίου. ἐν τῷ συνδέσμῳ, ἀστράγαλον δὲ νῦν τὸν σπόνδυλον. εἴρηται κατὰ ἀντίφρασιν. πολύστρεπτος γὰρ ὑπάρχει. ἀπὸ δ' ἄμφω κέρσε τένοντε.] ἀπέτεμε δὲ ἀμφοτέρας τὰ κατατείνοντα αὐτοῦ νεῦρα.

φράζεο.]

φράζεο.] νῦν ὅρα. Προθοήνορος ἀντιπεφάσθαι.] ἀντὶ τοῦ Προθοήνορος πεφονεῦσθαι. ἀναστροφὴ ὁ τρόπος. πεφάσθαι.] πεφονεῦσθαι. ἄλεται.] φαίνεται. κακῶν ἐξ.] ἀντὶ τοῦ ἐκ κακῶν. ἐῴκει.] ὡμοιοῦντο. γιγνώσκων.] εἰδώς. ἰόμωροι.] οἱ περὶ τοὺς ἰοὺς ὅ ἐστι τὰ βέλη κακοπαθοῦντες. πολεμικοί. ἀπειλάων.] καυχήσεων. οὔθην οἴοισιν.] οὐ δὴ μόνοις. πόνος.] κακοπάθεια. ὀϊζύς.] ταλαιπωρία. δεδμημένος.] ἀνῃρημένος. ποινή.] ἀντέκτισις. τιμωρία. ἄτιτος.] ἀτιμώρητος. γνωτόν.] ἀντὶ τοῦ ἀδελφόν. Ἄρεος ἀλκτῆρα.] ἀλεξητῆρα τοῦ πολέμου καὶ βοηθόν. ἢ ὥς τινες, φόνου τιμωρόν. πολυμήλου.] νῦν πολλὰ πρόβατα ἔχοντος. κτῆσιν.] τὰ κτήματα. θέμεθλα.] ῥίζας. βάσεις. ἐφ' ὧν ἵδρυται ὁ ὀφθαλμός. γλήνην.] τὴν τοῦ ὀφθαλμοῦ κόρην. διὰ πρό.] διαμπάξ. διόλου. πετάσσας.] ἁπλώσας. αὐχένα.] σπόνδυλον. τράχηλον. ἔλασεν.] ἀντὶ τοῦ ἀπέτεμεν ἔκοψεν. ἀπήραξεν.] ἀπέτεμεν. ἀπέκοψε. πήληκι.] περικεφαλαίᾳ. κάρη.] κεφαλήν. ὁ δὲ φῆ κώδειαν. ἀνασχών.] ἐλλείπει τὸ ὡς. ἵν' ᾖ ὡς κώδειαν ἀνατείνας. κώδεια δέ ἐστιν ἡ τοῦ μήκωνος κεφαλή, ὅ ἐστιν εἶδος βοτάνης. οὕτως οὖν φησιν ἀπὲ τὴν κεφαλὴν ἀνατείνας. πέφραδε.] σήμανον. δεῖξον. ὅτε δ' εἶπε. εὐχόμενος.] μεγαληγορῶν. καυχόμενος. γοήμεναι.] θρηνῆσαι. δάμαρ.] γυνή. γανύσσεται.] ἥσθη. χαρῇ. αἰπύν.] χαλεπόν. ἔσπετε.] λέγετε. ἀνδράγρια.] ἀνδρῶν ἀγρεύματα. σκῦλα. ἤρατο.] ἀπηνέγκατο. ἐκτήσατο. ἔκλινεν.] ἑτεροκλινῆ ἐποίησεν. ἔτρεψε. καρτερόθυμων.] ἰσχυρῶν. τῇ ψυχῇ ἀνδρείων.

ἐνήρατο.

Αἴας δ' αὖτε γέγωνεν ἀμύμονι Πουλυδάμαντι.
Φράζεο Πουλυδάμα, καί μοι νημερτὲς ἐνίσπε.
Ἦ ῥ' οὐχ οὗτος ἀνὴρ Προθοήνορος ἀντιπεφάσθαι
Ἄξιος, οὐ μέν μοι κακὸς εἴδεται οὐδὲ κακῶν ἐξ.
Ἀλλὰ κασίγνητος Ἀντήνορος Ἱπποδάμοιο,
Ἢ παῖς, αὐτῷ γὰρ γενεὴν ἄγχιστα ἐῴκει.
Ἦ ῥ' εὖ γινώσκων. Τρῶας δ' ἄχος ἔλλαβε θυμῷ.
Ἔνθ' Ἀκάμας πρόμαχον Βοιώτιον οὖτασε δουρί,
Ἀμφὶ κασιγνήτῳ βεβαώς, ὁ δ' ὕφελκε ποδοῖιν.
Τῷ δ' Ἀκάμας ἔκπαγλον ἐπεύξατο μακρὸν ἀΰσας,
Ἀργεῖοι ἰόμωροι ἀπειλάων ἀκόρητοι.
Οὔθην οἴοισίν γε πόνος τ' ἔσεται καὶ ὀϊζὺς
Ἡμῖν. ἀλλὰ ποθ' ὧδε κατακτενέεσθε καὶ ὔμμες
Φράζεσθ' ὡς ὑμῖν πρόμαχος δεδμημένος εὕδει
Ἔγχει ἐμῷ, ἵνα μή τι κασιγνήτοιό γε ποινὴ,
Δηρὸν ἄτιτος ἔῃ. τῷ καί κέ τις εὔχεται ἀνὴρ,
Γνωτὸν ἐνὶ μεγάροις Ἄρεως ἀλκτῆρα λιπέσθαι.
Ὣς ἔφατ', Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο.
Πηνέλεῳ δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν.
Ὡρμήθη δ' Ἀκάμαντος, ὁ δ' οὐχ ὑπέμεινεν ἐρωὴν.
Πηνελέοιο ἄνακτος, ὁ δ' οὔτασεν Ἰλιονῆα,
Υἱὸν Φόρβαντος πολυμήλου, τόν ῥα μάλιστα
Ἑρμείας Τρώων ἐφίλει, καὶ κτῆσιν ὄπασσεν.
Τῷ δ' ἄρ ὑπὸ μήτηρ μοῦνον τέκεν Ἰλιονῆα,
Τὸν τόθ' ὑπ' ὀφρύος οὖτα κατ' ὀφθαλμοῖο θέμεθλα,
Ἐκ δ' ὦσε γλήνην, δόρυ δ' ὀφθαλμοῖο διὰ πρὸ
Καὶ διὰ ἰνίου ἦλθεν, ὁ δ' ἕζετο χεῖρε πετάσσας
Ἄμφω, Πηνέλεως δ' ἐρυσσάμενος ξίφος ὀξὺ,
Αὐχένα μέσσον ἔλασσεν, ἀπήραξεν δὲ χαμᾶζε,
Αὐτῇ σὺν πήληκι κάρη, ἔτι δ' ὄβριμον ἔγχος
Ἦεν ἐν ὀφθαλμῷ, ὁ δὲ φῆ κώδειαν ἀνασχὼν.
Πέφραδέ τε Τρώεσσι, καὶ εὐχόμενος ἔπος ηὔδα
Εἰπέμεναι μοι Τρῶες ἀγαυοῦ Ἰλιονῆος,
Πατρὶ φίλῳ καὶ μητρὶ γοήμεναι ἐν μεγάροισιν.
Οὐ δὲ γὰρ ἡ Προμάχοιο δάμαρ Ἀλεγηνορίδαο,
Ἀνδρὶ φίλῳ ἐλθόντι γανύσσεται ὁππότε κεν δὴ
Ἐκ Τροίης, σὺν νηυσὶ νεώμεθα κοῦροι Ἀχαιῶν.
Ὣς φάτο. τοὺς δ' ἄρα πάντας ὑπὸ χλωρὸν δέος εἷλεν.
Πάπτηνεν δὲ ἕκαστος, ὅποι φύγοι αἰπὺν ὄλεθρον.
Ἔσπετε νῦν μοι Μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι,
Ὅς τις δὴ πρῶτος βροτόεντ' ἀνδράγρι' Ἀχαιῶν
Ἤρατ', ἐπεί ῥ' ἔκλινε μάχην κλυτὸς Ἐννοσίγαιος.
Αἴας ῥα πρῶτος Τελαμώνιος Ὕρτιον οὖτα,
Γυρτιάδην Μυσῶν ἡγήτορα καρτεροθύμων.
Φάλκην δ' Ἀντίλοχος καὶ Μέρμερον ἐξενάριξεν.
Μηριόνης δὲ Μόρυν τε, καὶ Ἱπποτίωνα κατέκτα.

Τεῦκρος

Τεῦκρος δὲ Προθόωνά τ' ἐνήρατο καὶ Περιφήτην.
Ἀτρεΐδης δ' ἄρ' ἔπειθ' Ὑπερήνορα ποιμένα λαῶν,
οὖτα κατὰ λαπάρην, διὰ δ' ἔντερα χαλκὸς ἄφυσσε
δῃώσας, ψυχὴ δὲ κατ' οὐταμένην ὠτειλὴν
ἔσσυτ' ἐπειγομένη. τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε.
Πλείστους δ' Αἴας εἷλεν Ὀϊλῆος ταχὺς υἱός.
οὐ γάρ οἵ τις ὁμοῖος ἐπισπέσθαι ποσὶν ἦεν
ἀνδρῶν τρεσσάντων, ὅτε τε Ζεὺς ἐν φόβον ὄρσῃ.

ἐνήρατο.] ἀνῄρησε. διαφύσσε.] διέκοψε. διήντλησε. δῃώσας.] διακόψας. τρώσας. ὠτειλήν.] τραῦμα. ἔσσυτο.] ὥρμησεν. ἐπισπέσθαι.] ἐπακολουθῆσαι. τρεσσάντων.] διὰ δέος φυγόντων. φόβον.] φυγήν. ὄρσῃ.] ἐμβάλῃ,

## ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ο ΤΟΥ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ζεὺς ἐγερθεὶς καὶ θεασάμενος τοὺς Τρῶας νικωμένους, Ἥρᾳ ἐπιπλήσσει, καὶ Ἶριν μὲν πέμπει πρὸς Ποσειδῶνα κελεύων ἀφίστασθαι τοῦ πολέμου, Ἀπόλλωνα δὲ ὅπως ἀναρρώσῃ τὸν Ἕκτορα. ὃς ἀναλαβὼν αἰγίδα, τοὺς Ἕλληνας εἰς φυγὴν τρέπει. καὶ μέχρι τῶν νεῶν συνδιωχθέντων, Αἴας ὁ Τελαμώνιος πολλοὺς ἀναιρεῖ τῶν πολεμίων τοὺς ταῖς ναυσὶ πῦρ ἐπιφέροντας.

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Ο ΤΟΥ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΝ

Διά τε σκόλοπας καὶ τάφρον ἔβησαν.] τὸ ἑξῆς, διέβησαν τούς τε σκόλοπας καὶ τὴν τάφρον. ὑπερβάντες γὰρ ὁ τρόπος. ἐρητύοντο.] κατείχοντο. ὑπαὶ δείους.] ὑπὸ τοῦ δέους, ὅ ἐστι φόβου. τὸ ὑπαὶ δείους δύναται καὶ χλωροὶ ὑπαὶ δείους. καὶ πεφοβημένοι ὑπὸ δέους. πεφοβημένοι.] εἰς φυγὴν τετραμμένοι. ἔγρετο.] ἐγρηγόρησεν. ἀνέστη, ἀναΐξας.] ἀνορμήσας. ἀναστάς. ὀρινομένους, ταρασσομένους. κλονέοντας.] ταράσσοντας. ἔχετ' ἄσθματι.] ὑπὸ ἄσθματος συνείχετο. ὅ ἐστιν ὑπὸ πολλοῦ πνεύματος καὶ συνεχοῦς ἀναπνοῆς. κῆρ ἀπινύσσων.] ἐξεστικῶς τῇ ψυχῇ, καὶ οὐ διακείμενος συνετῶς, ἀλλ' ἀσυνέτως. οὐκ ἀφαυρότατος.] οὐκ ἀσθενής. ἦ μάλα δὴ κακότεχνος ἀμήχανε σὸς δόλος Ἥρη.] ὄντως δή ὁ ἐπὶ κακῷ σου τετεχνασμένος δόλος ὦ Ἥρα τὸν Ἕκτορα ἔοικε τῆς μάχης πεπαυκέναι. ἀμήχανε.] πανοῦργε. πρὸς ὃν οὐ δύναταί τις μηχανήσασθαι καὶ ἐπινοῆσαί τι. κακορραφίης.] κακοσυνθεσίας. κακοβουλίας. ἐπαύρηαι.] ἐπιψαύσῃ ἀπολαύσῃς τῆς κακοβουλίας. ἱμάσσω.] μαστίξω.

# ΙΛΙΑΔΟΣ Ο ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ

Ο, Κρονίδης κεχόλωτο Ποσειδάωνι καὶ Ἥρῃ.

Αὐτὰρ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν
Φεύγοντες, πολλοὶ δὲ δάμεν Δαναῶν ὑπὸ χερσίν,
Οἱ μὲν δὴ παρ' ὄχεσφιν ἐρυτύοντο μένοντες,
Χλωροὶ ὑπαὶ δείους πεφοβημένοι, ἔγρετο δὲ Ζεὺς
Ἴδης ἐν κορυφῇσι, παρὰ χρυσοθρόνου Ἥρης,
Στῆ δ' ἄρ' ἀναΐξας, ἴδε δὲ Τρῶας καὶ Ἀχαιούς,
Τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπισθεν
Ἀργείους, μετὰ δέ σφι Ποσειδάωνα ἄνακτα,
Ἕκτορα δ' ἐν πεδίῳ ἴδε κείμενον, ἀμφὶ δ' ἑταῖροι
Εἵαθ', ὁ δ' ἀργαλέῳ ἔχετ' ἄσθματι κῆρ ἀπινύσσων,
Αἷμ' ἐμέων, ἐπεὶ οὔ μιν ἀφαυρότατος βάλ' Ἀχαιῶν.
Τὸν δὲ ἰδὼν ἐλέησε πατὴρ ἀνδρῶν τε θεῶν τε.
Δεινὰ δ' ὑπόδρα ἰδὼν Ἥρην πρὸς μῦθον ἔειπεν.
Ἦ μάλα δὴ κακότεχνος ἀμήχανε σὸς δόλος Ἥρη,
Ἕκτορα δῖον ἔπαυσε μάχης, ἐφόβησε δὲ λαούς,
Οὐ μὰν οἶδ' εἰ αὖτε κακορραφίης ἀλεγεινῆς
Πρώτη ἐπαύρηαι, καί σε πληγῇσιν ἱμάσσω,